διαβαίνειν εἰς Λιβύην] confecto et Alexandrino et Pontico bello, quum Pompeianarum partium potentes reliquiae sub Catone et P. Scipione Metello Pio (Pompeii socero, consule a. 702.) se congregassent, adiuti etiam a Iuba Mauretaniae rege. Cf. Plut. Caes. 52-54. et omnino incerti auctoris librum de bello Africano.

τὴν ἐντὸς Ἄλπεων Γαλατίαν] summae gravitatis provinciam: de qua vid. e. g. Cicero Phil. III. 5, 13. Bruto in Gallia praetori scriptas habemus epistolas Ciceronis de fam. XIII. 10-14.

πεπιστευμένων] solita in hoc verbo conversione, οἷς ἐπεπίστευντο αἱ ἐπαρχίαι. — In verbis αὔξοντα et συνόντα leviter turbata est constructio: non enim voluit opinor Brutum θέαμα γενέσθαι sed αὐξῆσαι συνόντα.

κεχαρισμένως] ex quo Caesar gratiam, laetitiam caperet, *ihm zur Freude.*" Sic iam Hom. Od. II. 54. δοίη ᾧ κ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι. Noster Cim. 16. πρᾴως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ Λακεδαιμονίοις ὁμιλοῦντος. Agid. 2. τιμώμενοι ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως.

των μεγάλων ἐμπεπτωκότων εἰς τὴν σύγκλητον, ἃ μικρὸν ἐδέησεν ἀνατρέψαι τὴν πόλιν, ἑστάναι μὲν ὁμοῦ Κάτωνα καὶ Καίσαρα διαφερομένους περὶ γνώμης· ἐν τούτῳ δὲ γραμματιδίου μικροῦ προςδοθέντος ἔξωθεν Καίσαρι τὸν μὲν ἀναγινώσκειν σιωπῇ, Κάτωνα δὲ βοᾶν, ὡς δεινὰ ποιεῖ Καῖσαρ ἐντεύξεις καὶ γράμματα παρὰ τῶν πολεμίων προςδεχόμενος· θορυβησάντων δὲ πολλῶν καὶ τοῦ Καίσαρος τὸ δελτάριον, ὡς εἶχε, τῷ Κάτωνι προςδόντος, ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἀκόλαστον ἐπιστόλιον, ἐκεῖνο μὲν ῥῖψαι πρὸς τὸν Καίσαρα καὶ εἰπεῖν „Κράτει, μέθυσε", πρὸς δὲ τὴν

Cf. Flaminin. 20. de adul. et amico c. 32. p. 71. (271. W.) v. Viger. p. 247.

αὐτῷ] Sch. *αὑτῷ*, et sic ubicunque fieri poterat. Nos nonnisi sensu flagitante reflexivum in textum intulimus.

πως] sine dubio additum, ut Plutarchum ipsum dubitantem sentiamus in re satis mira, quam rectius opinor posteriorum sedulitati tribuas, qui saepius coniiciendo talia fingebant. Huic autem narrationi facile occasionem praebere poterat notum illud *καὶ σύ, τέκνον;* Caesaris morientis. (Suet. Caes. 82. Dio Cass. XLIV. 19.)

λέγεται δὲ κ. τ. λ.] Eandem narrationem videas in Catone c. 24.

τῶν περὶ Κατιλίναν μ. πρ.] a. u. 691. Salustii librum et Ciceronis orationes quis est qui ignoret?

ἑστάναι] „Nam qui in senatu aut concione dicerent, hi stabant: sedenti dicere non licebat." Reiske. Ceterum etiam orationes quibus Salustius hanc Catonis et Caesaris altercationem expressit nobiliores sunt quam quae nostra indigeant admonitione. Cf. etiam Plut. Caes. 7. 8. Cic. 21.

τῶν πολεμίων] Catilinae socii iam hostes rei publicae iudicati, in quorum numero etiam Caesarem esse multi arbitrabantur.

ὡς εἶχε] sicut id tenebat, nihil mutans vel occultans; quod rei vividius pingendae causa additur, alias intransitive: sicut erat.

ἀκόλαστον] ut *ἀκολασία* praecipue de libidine male coercita: impurum.

ῥῖψαι] Schaef. hic et deinceps accentum correxit; vulg. *ῥίψαι.*

κράτει] „Vince, habeas tibi. Familiaris formula iratis, de qua copiose egit Is. Casaubon. ad Suet. Iul. Caes. 1. p. 9. Add. Sophoclis Electr. 253. *εἰ δὲ μὴ καλῶς λέγω, σὺ νίκα.*" Fabr. Sed sicut Sophoclis exemplum minime huc quadrat — verba sunt servarum dominae obloquentium sed summa cum modestia — ita hunc locum alienum ab illo sensu puto; non enim de Serviliae amore Cato cum Caesare certaverat. Immo vertam: tene, cape, habeas tibi, quod ego abiicio: quem sensum etiam Passovius in lexico (lit. e) notavit. Minus tamen apte ille Valck. ad Phoen. 594. citasse videtur.

μέθυσε] de omni opinor affectu, qui in homine bacchatur, ut vernaculum: *Rausch der Leidenschaft.*

γνώμην καὶ τὸν λόγον αὖθις ἐξ ἀρχῆς τραπέσθαι. Οὕτω μὲν ἦν ὁ πρὸς Καίσαρα Σερβιλίας ἔρως περιβόητος.

VI. Γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης, καὶ Πομπηΐου μὲν ἐπὶ θάλασσαν διεκπεσόντος, πολιορκουμένου δὲ τοῦ χάρακος, ἔλαθεν ὁ Βροῦτος κατὰ πύλας πρὸς τόπον ἑλώδη καὶ μεστὸν ὑδάτων καὶ καλάμου φερούσας ἐξελθὼν καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς Λάρισσαν. Ἐκεῖθεν δὲ γράψαντος αὐτοῦ Καῖσαρ ἥσθη τε σωζομένῳ καὶ κελεύσας πρὸς αὑτὸν ἐλθεῖν οὐ μόνον ἀφῆκε τῆς αἰτίας, ἀλλὰ καὶ τιμώμενον ἐν τοῖς μάλιστα περὶ αὑτὸν εἶχεν. Οὐδενὸς δ' ὅπη φεύγοι Πομπήϊος εἰπεῖν ἔχοντος, ἀλλ' ἀπορίας οὔσης, ὁδόν τινα σὺν τῷ Βρούτῳ βαδίζων μόνος ἀπεπειρᾶτο τῆς γνώμης· καὶ δόξαντος ἔκ τινων διαλογισμῶν ἄριστα περὶ

Cap. VI. τῆς κατὰ Φάρσαλον ἥττης] autumno a. 706. Pugnae celeberrimae narrationes habes in Plut. Caes. 42-47. Pomp. 68-73. et praecipue Caesaris ipsius de bello civ. III. 84-99.

Πομπηΐου ἐπὶ θάλ. ἐκπεσ.] Haec cum reliqua miserrima fuga vide in Pomp. c. 73 ss.

πολιορκουμένου τοῦ χάρακος] πολιορκεῖν h. l. est oppugnare. „Cum impetus in vallum fieret. Dionys. Halic. A. R. III. 40. ἐπὶ τὰ πολιορκούμενα μέρη τῆς πόλεως συνδραμόντων ἀνδρώς καὶ τὰς προςβολὰς γενναίως ἀποτριβομένων." Sch. Plut. Caes. 45. ἐπέβαινον τοῦ χάρακος καὶ διεμάχοντο πρὸς τοὺς φυλάττοντας. Caesar ipse l. l. c. 95. rem distincte exponens *oppugnandi* verbo usus est.

ἔλαθεν-ἐξελθὼν καὶ] Optime ex Cor. coni. vv. ἔρχεσθαι (Reiske dederat ἐξέρχ.) post πύλας et δὲ post ἐξελθὼν omissa sunt; δὲ etiam cod. Palat. omittit, unde iam Kunischius locum ita refinxit. Hessium miro modo vulgatam defendentem ipsum adeat cui lubet, Obss. in Timol. p. 97.

Λάρισσαν] praecipua Thessaliae urbs, quo etiam Pompeius primo fugerat. Strabo IX. 5, 19. p. 440.

ἐν τοῖς μάλιστα] v. Herm. ad Vig. p. 787. n. 250. Matth. Gr. §. 290.

ἐπ' Αἰγύπτου] ἐπὶ c. gen. pro acc. quod saepissime occurrit, eadem nitens ratione, quam ad c. 5. ὑφ' ἑαυτόν tetigimus: ὁδὸς ἡ ἐπ' Αἰγύπτου κειμένη, pro ἡ ἐπ' Αἴγυπτον φέρουσα. Cap. 24. ἐπ' Ἀθηνῶν ἔπλει, ubi v. Fabr.

τὸ πεπρωμένον] tristissimam sortem, qua summus vir pessimis infimisque hominibus succubuerit, narrat Plut. Pomp. 77-80. cuius ingenuos colores qui aestimare velit, conferat Lucani pigmenta Phars. VIII. a v. 470.

τῆς Πομπηΐου τεκμαίρεσθαι φυγῆς, ἀφεὶς τἄλλα τὴν ἐπ' Αἰγύπτου συνέτεινεν. Ἀλλὰ Πομπήϊον μέν, ὥςπερ εἴκασε Βροῦτος, Αἰγύπτῳ προςβαλόντα, τὸ πεπρωμένον ἐδέξατο· Καίσαρα δὲ καὶ πρός Κάσσιον ἐπράϋνε Βροῦτος. Καὶ δὴ καὶ τῷ τῶν Λιβύων βασιλεῖ προηγορῶν μὲν ἡττᾶτο τοῦ μεγέθους τῶν κατηγοριῶν, δεόμενος δὲ καὶ παραιτούμενος περὶ τούτου πολλὴν αὐτῷ διέσωσε τῆς ἀρχῆς. Λέγεται δὲ Καῖσαρ, ὅτε πρῶτον ἤκουσεν αὐτοῦ λέγοντος, εἰπεῖν πρὸς τοὺς φίλους· „Οὗτος ὁ νεανίας οὐκ οἶδα μὲν ὃ βούλεται, πᾶν δ' ὃ βούλεται σφόδρα βούλεται." Τὸ γὰρ ἐμβριθὲς αὐτοῦ καὶ μὴ ῥᾳδίως μηδὲ παντὸς ὑπήκοον τοῦ δεομένου πρὸς χάριν, ἀλλ' ἐκ λογισμοῦ καὶ προαιρέσεως τῶν καλῶν πρακτικόν, ὅποι τρέψειεν, ἰσχυραῖς ἐχρῆτο ταῖς ὁρμαῖς καὶ τελεσιουργοῖς· πρὸς δὲ τὰς ἀδίκους δεήσεις ἀκολά-

Κάσσιον] C. Cassius (Longinus dictus Dioni XL. 25.) antea M. Crassi in expeditione Parthica quaestor fuerat reliquiasque exercitus multa cum laude servavit (v. ad c. 7.), deinde sub Pompeio classi Asiaticae praefuit (Caes. bell. civ. III. 101.).

Λιβύων] Cic. ad Att. XIV. 1. *De Bruto nostro Caesarem solitum (ille dixit) dicere „Magni refert, hic quid velit: sed quicquid vult, valde vult". idque eum animadvertisse, quum pro Deiotaro Nicaeae diceret: valde vehementer eum visum et libere dicere.* Cf. Cic. Brut. 5.) Manifestum est, eandem rem Plutarchum narrare, neque omnino de Afrorum rege hic loqui poterat. Nisi igitur statuere velis, ipsum memoriae lapsu Iubam cum Deiotaro confudisse, librarii scripturam perdiderunt, quod sane veri similius. In cod. Vulcob. est Νικαιέων, quae tamen correctura videtur. Fabricii commentum καὶ Δηϊοτάρῳ ἐν Νικαίᾳ ὢν βασιλεῖ nemini opinor placebit. Melius Cor. pro Λιβύων proposuit Γαλατῶν. De Deiotaro, Gallograeciae s. Galatiae tetrarcha, cfr. Bell. Alexandr. c. 67-68. et argumenta orationis, qua Cicero eum a novo crimine defendit, a. 709.

περὶ τούτου] Fabr. haec deleri voluit, et revera non modo superflua sunt sed etiam incongrua verbo παραιτούμενος. Quid si loco suo mutata sint et retrahenda ad verbum λέγοντος?

ἐμβριθὲς] v. ad c. 1.

ὅποι] Schaef. emendavit pro ὅπου: recte, opinor. Nam quamvis multa in his adverbiis commutandis Graecis sit licentia, semper tamen ratione quadam haec solvi posse necesse est (v. c. ποῦ ὑπάγω i. e. ποῦ ἔσομαι ὑπαγαγὼν ἐντεῦθεν. Ita Xen. Hell. II. 3, 54. ἀπαγαγόντες οὗ δεῖ.), et praeterea saepissime ποῖ invenies ubi ποῦ exspectares, vix umquam πόῦ, ubi ποῖ. His non obstare credo quae Herm. ad Vig. n. 252. d. et Schaef. ad Eur. Hec. 1062. ed. Porson. annotarunt.

κευτος ἦν, καὶ τὴν ἀπὸ τῶν ἀναισχύντως λιπαρούντων ἥττων, ἣν ἔνιοι δυςωπεῖσθαι καλοῦσιν, αἰσχίστην ἀνδρὶ μεγάλῳ ποιούμενος εἰώθει λέγειν, ὡς οἱ μηδὲν ἀρνεῖσθαι δυνάμενοι δοκοῦσιν αὐτῷ μὴ καλῶς τὴν ὥραν διατεθεῖσθαι. Μέλλων δὲ διαβαίνειν εἰς Λιβύην Καῖσαρ ἐπὶ Κάτωνα καὶ Σκιπίωνα Βρούτῳ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεψεν, εὐτυχίᾳ τινὶ τῆς ἐπαρχίας· τὰς γὰρ ἄλλας ὕβρει καὶ πλεονεξίᾳ τῶν πεπιστευμένων ὥςπερ αἰχμαλώτους διαφορούντων, ἐκείνοις καὶ τῶν πρόσθεν ἀτυχημάτων παῦλα καὶ παραμυθία Βροῦτος ἦν καὶ τὴν χάριν εἰς Καίσαρα πάντων ἀνῆπτεν, ὡς αὐτῷ μετὰ τὴν ἐπάνοδον περιιόντι τὴν Ἰταλίαν ἥδιστον θέαμα τὰς ὑπὸ Βρούτῳ πόλεις γενέσθαι, καὶ Βροῦτον αὐτὸν αὔξοντα τὴν ἐκείνου τιμὴν καὶ συνόντα κεχαρισμένως.

VII. Ἐπεὶ δὲ πλειόνων στρατηγιῶν οὐσῶν τὴν μέ-

ἀπὸ] Schaef. ὑπό, contra ceteros sed sine nota, ut paene casui tribuerim mutationem sane minime necessariam. V. Matth. §. 573.

δυςωπεῖσθαι] verecundia alicuius moveri, facere aliquid quia veremur aliquem. Construitur cum accusativo eius quem veremur; qui et ὁ δυςωπῶν dicitur. Copiosius haec omnia habes in praeclaro libello, quem de ipso hoc δυςωπίας vitio scripsit Plutarchus, ubi etiam (c. 3. p. 530. Wytt. III. p. 137.) hoc Bruti dictum repetitur, οὐ δοκεῖν αὐτῷ καλῶς τὴν ὥραν διατεθεῖσθαι τὸν πρὸς μηδὲν ἀρνούμενον.

μὴ καλῶς-διατεθ.] „Comparandum cum Xenophontis disputatione Memor. I. 6, 13. ubi docetur quae sit καλὴ τῆς ὥρας διάθεσις." Schaef. Cic. 7. οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας.

διαβαίνειν εἰς Λιβύην] confecto et Alexandrino et Pontico bello, quum Pompeianarum partium potentes reliquiae sub Catone et P. Scipione Metello Pio (Pompeii socero, consule a. 702.) se congregassent, adiuti etiam a Iuba Mauretaniae rege. Cf. Plut. Caes. 52-54. et omnino incerti auctoris librum de bello Africano.

τὴν ἐντὸς Ἄλπεων Γαλατίαν] summae gravitatis provinciam: de qua vid. e. g. Cicero Phil. III. 5, 13. Bruto in Gallia praetori scriptas habemus epistolas Ciceronis de fam. XIII. 10-14.

πεπιστευμένων] solita in hoc verbo conversione, οἷς ἐπεπίστευντο αἱ ἐπαρχίαι. — In verbis αὔξοντα et συνόντα leviter turbata est constructio: non enim voluit opinor Brutum θέαμα γενέσθαι sed αὐξῆσαι συνόντα.

κεχαρισμένως] ex quo Caesar gratiam, laetitiam caperet, *ihm zur Freude.*" Sic iam Hom. Od. II. 54. δοίη ᾧ κ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι. Noster Cim. 16. πρᾴως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ Λακεδαιμονίοις ὁμιλοῦντος. Agid. 2. τιμώμενοι ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως.

γιστον ἔχουσαν ἀξίωμα, καλουμένην δὲ πολιτικὴν ἐπίδοξος ἦν ἢ Βροῦτος ἕξειν ἢ Κάσσιος, οἱ μὲν αὐτοὺς λέγουσιν, ἐξ αἰτιῶν προτέρων ἡσυχῇ διαφερομένους, ἔτι μᾶλλον ὑπὲρ τούτου διαστασιάσαι, καίπερ οἰκείους ὄντας· Ἰουνίᾳ γὰρ ἀδελφῇ Βρούτου συνῴκει Κάσσιος· οἱ δὲ Καίσαρος ἔργον γενέσθαι τὴν φιλονεικίαν ταύτην ἑκατέρῳ κρύφα δι' ἐλπίδων ἐνδιδόντος ἑαυτόν, ἄχρις οὗ προαχθέντες οὕτω καὶ παροξυνθέντες εἰς ἀγῶνα κατέστησαν. Ἡγωνίζετο δὲ Βροῦτος εὐκλείᾳ καὶ ἀρετῇ πρὸς πολλὰ τοῦ Κασσίου καὶ λαμπρὰ τὰ Παρθικὰ νεανιεύματα. Καῖσαρ δ' ἀκούσας καὶ βουλευόμενος ἐν τοῖς φίλοις εἶπε· „Δικαιότερα μὲν λέγει Κάσσιος, Βρούτῳ δὲ τὴν πρώτην δοτέον." Ἀπεδείχθη δὲ Κάσσιος ἐφ' ἑτέρᾳ στρατηγός, οὐ τοσοῦτον εὐνοίας ἔχων δι' ἣν ἔλαβεν ὅσον ὀργῆς ὧν ἀπέτυχε. Βροῦτος δὲ καὶ

Cap. VII. *στρατηγιῶν - πολιτικὴν*] est praetura urbana, quae vocabula Plut. solita in hac re Graecis levitate vertit. Caes. 62. eandem *στρατηγίαν ἐν τοῖς τότε ἐπιφανεστάτην* dixit. Erant vero praetori urbano iudicia privata demandata, consulumque absentium ille loco fungebatur.

ἢ Βροῦτος] Sic Reiske refinxit pro *ὁ Βροῦτος*.

Ἰουνίᾳ] Eadem et Tertia (Auctor epp. Cic ad Brut. II. 5.) et Tertulla dicta est. Cic. ad Att. XIV. 20. XV. 11. Utrum vero germana Bruti soror fuerit an e Silano orta, parum liquet. Lepidi triumviri uxor (Vell. II. 88.) alia soror fuisse videtur. De Iuniae morte v. Tac. Annal. III. 76.

τὰ Παρθικὰ νεανιεύματα] in M. Crassi infelice expeditione (a. 701.), cuius quaestor quum esset, in ipso bello et praecipue post Crassi interitum prudentis et fortis ducis laudem sibi paravit. Cf. Crass. 18. 22. 23. 27. 29. Dion. Cass. XL. 25. 28-30. Iust. XLII. 4, 5. — „*Νεανιεύματα* bono sensu dictum de egregiis facinoribus iuvenis." Schaef. Similiter sed non sine levi reprehensione usus est verbo Num. 12. *ἐνανιεύσατο προκαλέσασθαι τὸν ἀριστεύοντα τῶν βαρβάρων*. Mar. 29. *μακρὰ χαίρειν φράσας τοῖς ἐν τῇ βουλῇ νεανιευθεῖσεν ἀπὸ φωνῆς*.

τὴν πρώτην] *στρατηγίαν*. Male Latinus: *primae partes*. Caes. l. l. *ὡς δικαιότερα μὲν λέγοι Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι*.

ἐφ ἑτέρᾳ] *στρατηγίᾳ*, ita ut (hoc est *ἐπί* c. dat.) alteram praeturam acciperet, sc. peregrinam, litibus peregrinorum inter se et cum civibus iudicandis.

δι' ἣν-ὧν] Sol. et Cor. voluerunt *δι' ἃ-ὧν* aut *δι' ἣν-ἧς*. Sch. recte defendit *ὧν*, et soni et sensus causa; nam „attractio vocum *ὀργῆς ἧς* impediret intellectum argutae oppositionis."

πάντες ὡμολόγουν, εἰ Βροῦτος ἡγοῖτο, δεῖσθαι γὰρ οὐ χειρῶν οὐδὲ τόλμης τὴν πρᾶξιν, ἀλλὰ δόξης ἀνδρὸς οἷος οὗτός ἐστιν, ὥςπερ καταρχομένου καὶ βεβαιοῦντος αὐτῷ τῷ παρεῖναι τὸ δίκαιον· εἰ δὲ μή, καὶ δρῶντας ἀθυμοτέρους ἔσεσθαι καὶ δράσαντας ὑποπτοτέρους, ὡς οὐκ ἄν ἐκείνου τὸ ἔργον, εἰ καλὴν αἰτίαν εἶχεν, ἀπειπαμένου. Ταῦτα συμφρονήσας ἐνέτυχε Βρούτῳ πρότερος ἐκ τῆς διαφορᾶς ἐκείνης καὶ μετὰ τὰς διαλύσεις καὶ φιλοφροσύνας ἠρώτησεν, εἰ τῇ νουμηνίᾳ τοῦ Μαρτίου μηνὸς ἔγνωκεν εἰς σύγκλητον παρεῖναι· πυνθάνεσθαι γάρ, ὡς λόγον ὑπὲρ βασιλείας Καίσαρος οἱ φίλοι τότε καθήσοιεν. Φήσαντος δὲ τοῦ Βρούτου μὴ παριέναι „Τί οὖν" εἶπεν ὁ Κάσσιος „ἂν καλῶσιν ἡμᾶς;" „Ἐμὸν ἔργον" ἔφη ὁ Βροῦτος „ἤδη τὸ μὴ σιωπᾶν, ἀλλ' ἀμύνειν καὶ προαποθνήσκειν τῆς ἐλευθερίας." Καὶ ὁ Κάσσιος ἐπαρθείς „Τίς δ'" εἶπε „Ῥωμαίων ἀνέξεται σοῦ

Cap. X. ὡμολόγουν] addicebant, suam operam promittebant. Similis usus est verbi φάναι, infinitivo rei quae promittitur omisso.

καταρχομένου] sacrificium incipere saepe res est sacerdotis, qui omnem sacrificandi operam, mactandi, comburendi cet. suscipere non dignatur, sed prima quaeque agendo rem totam quasi sacrat. Haec est imaginis vis optime in Bruti casum quadrantis. Quare etiam Caes. 66. dixit: ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου.

αὐτῷ τῷ παρεῖναι] eo ipso (solo) quod adesset. V. Usterium ad Plut. Consol. ad Apoll. p. 112.

τὸ δίκαιον] τῆς πράξεως.

τῇ νουμηνίᾳ] Sic Graeco more Calendas appellat, quae cum Nonis et Idibus ordinario senatui destinatae erant.

παρεῖναι εἰς σύγκλητον] breviloquentia frequenti, quae minime suspecta esse debebat Corai; pr. εἰς τὴν σύγκλητον παριέναι καὶ ἐν τῇ συγκλήτῳ παρεῖναι. Sic Herod. V. 72. παρῆν ἐς τὰς Ἀθήνας. Cognatus est usus praep. ὑπό et ἐπί, de quibus diximus ad c. 5. et 6. Vid. Fabr. et Haitinger. (Acit. Philolog. Mon. III. 2, p. 183.) ad h. l.

καθήσοιεν] Reiskii est emendatio pro vulg. καθίσοιεν. Notabilis autem locutio, sermonem de aliqua re afferre, pr. demittere, quasi in arenam opinor, ut spectent atque iudicent rem quibus id convenit. Paulo aliter Cimon. 8. πρώτην διδασκαλίαν τοῦ Σοφοκλέους καθέντος.

παριέναι] Reiske a παρίημι repetiit, cui iam Bred. oblocutus. Schaef. scripsit παρεῖναι, quod in Corais ed. per errorem — felicem dicit Sch. — illatum est. Certe res dubia est, sed nunc quidem mu-

προαποθνήσκοντος; Ἆρ' ἀγνοεῖς, ὦ Βροῦτε, σεαυτόν; ἢ τὸ βῆμά σου δοκεῖς καταγράφειν τοὺς ὑφάντας καὶ τοὺς καπήλους, οὐχὶ τοὺς πρώτους καὶ κρατίστους ταῦτα ποιεῖν, παρὰ μὲν τῶν ἄλλων στρατηγῶν ἐπιδόσεις καὶ θέας καὶ μονομάχους, παρὰ σοῦ δ' ὡς ὄφλημα πατρικὸν τὴν κατάλυσιν τῆς τυραννίδος ἀπαιτοῦντας, αὐτοὺς δ' ὑπὲρ σοῦ πάντα πάσχειν προθύμους ὄντας, οἷον ἀξιοῦσι καὶ προσδέχονται φανέντος;" Ἐκ τούτου περιβαλὼν τὸν Βροῦτον ἠσπάζετο, καὶ διαλυθέντες οὕτως ἐτρέποντο πρὸς τοὺς φίλους.

XI. Ἦν δέ τις Γάϊος Λιγάριος τῶν Πομπηΐου φίλων, ὃν ἐπὶ τούτῳ κατηγορηθέντα Καῖσαρ ἀπέλυσεν. Οὗτος οὐχ ἧς ἀφείθη δίκης χάριν ἔχων, ἀλλὰ δι' ἣν ἐκινδύνευσεν ἀρχὴν βαρυνόμενος ἐχθρὸς ἦν Καίσαρι, τῶν δὲ περὶ Βροῦτον ἐν τοῖς μάλιστα συνήθης. Πρὸς τοῦτον ἀσθενοῦντα Βροῦτος εἰσελθών, „Ὦ Λιγάριε" εἶπεν „ἐν

tatione non opus esse videtur, contra in re futura verbi ἰέναι quam εἶναι praesens rectius adhiberi.

ἤδη] tum iam, quum dissensione, quam absentia testor, neglecta id restabit ut dicendo meam rei improbationem proferam.

θέας] dedit Sch. Reiskio iubente pro vulg. θέατρα, ex Appian. II. 113. θέας ἵππων ἢ θηρίων.

παρὰ σοῦ δ'] „Concinnius foret παρὰ δὲ σοῦ. Sed haud rare particulae μέν et δέ minus concinne respondent." Schaef.

ὄφλημα] „Malim ὀφείλημα." Ib.

πατρικὸν] „προγονικόν." Ib. App. l. l. ὡς σὸν προγονικὸν ἔργον.

οἷον] σὲ φανῆναι. — φανέντος] εἰ φαίνῃ. Monuit iam Reiske.

περιβαλεῖν] brachia circumdare, passim adiuncto v. ἀσπάζεσθαι. Cleom. 22. περιβαλοῦσα καὶ κατασπασαμένη. — De v. ἀσπάζεσθαι v. ad c. 43.

Cap. XI. Γάϊος Λιγάριος] Errore vel Plutarchi vel librariorum Caius factus est, cui Quinti praenomen fuisse aliunde satis constat, et ipse Plut. Cic. 39. testatur. Fuerat ille initio belli civilis a praetore Considio in Africa cum imperio relictus ibique Caesarianis restitit. Pro eo Cicero orationem habuit adhuc exstantem, de cuius miro successu vide eundem Plutarchi in Cic. vita locum.

ἐπὶ τούτῳ] Dativus hic non, ut plerumque, finem, sed occasionem indicat; quia hoc factum erat, non: ut hoc fieret. Matth. Gr. §. 585. extr.

τῶν περὶ Βροῦτον] Bruti. Plutarcho haec serioris aevi παράφρασις non inusitata. Sic Caes. 29. et 31. οἱ περὶ Λέντλον de solo Lentulo.

οἵῳ καιρῷ νοσεῖς." Κἀκεῖνος εὐθὺς εἰς ἀγκῶνα διαναστὰς καὶ λαβόμενος αὐτοῦ τῆς δεξιᾶς „Ἀλλ' εἴ τι" φησίν „ὦ Βροῦτε, σεαυτοῦ φρονεῖς ἄξιον, ὑγιαίνω."

XII. Ἐκ τούτου διαπειρώμενοι κρύφα τῶν γνωρίμων, οἷς ἐπίστευον ἀνεκοινωνοῦντο καὶ προσελάμβανον, οὐ μόνον τῶν συνήθων ποιούμενοι τὴν αἵρεσιν, ἀλλ' ὅσους ἠπίσταντο τολμητὰς ὄντας ἀγαθοὺς καὶ θανάτου καταφρονητάς. Διὸ καὶ Κικέρωνα, τοῦτο μὲν πίστεως, τοῦτο δ' εὐνοίας ἕνεκα πρῶτον ὄντα παρ' αὐτοῖς, ἀπεκρύψαντο, μὴ τῷ φύσει τόλμης ἐνδεὴς εἶναι προσειληφὼς ὑπὸ χρόνου γεροντικὴν εὐλάβειαν, εἶτα πάντα καθ' ἕκαστον ἀνάγων τοῖς λογισμοῖς εἰς ἄκραν ἀσφάλειαν ἀμβλύνῃ τὴν ἀκμὴν αὐτῶν τῆς προθυμίας, τάχους δεομένην· ἐπεὶ καὶ τῶν ἄλλων ἑταίρων ὁ Βροῦτος Στατίλιόν τε παρέλιπε τὸν Ἐπικούρειον καὶ Φαώνιον ἐραστὴν Κάτωνος, ὅτι, πόῤῥωθεν αὐτοῖς τοιαύτην τινα

Cap. XII. ἀνεκοινωνοῦντο] sc. τὴν πρᾶξιν, hanc rem, vel ut nos: es. Cor. mutavit in ἀνεκοινοῦντο, quod Sch. in notis ipse reiecit.

γεροντικὴν] Annum tunc, a. u. 710. Cicero agebat sexagesimum alterum, natus quippe a. u. 648.

εἶτα] hic non opponendi sed concludendi notione usurpatur, contra solitum usum. Parem locum affert Hoogev. ad Vig. p. 339. Aristoph. Vesp. 283. διὰ τοῦτ' ὀδυνηθεὶς εἶτ' ἴσως κεῖται πυρέττων.

ἄκραν] nostri superlativi vim habet: die äußerste.

αὐτῶν τῆς προθυμίας] Notes traiectionem arti magis quam negligentiae tribuendam.

Στατίλιον] R. e cod. An. pro vulg. Στάλλιον. Bryanus putat eundem fuisse qui c. 51. Στατύλλιος inducitur, quemque etiam e Catonis vita (c. 65. 66. 73.) novimus. Quanquam ille Catonem aemulans magis Stoicus exhibetur quam Epicureus, extremamque sortem cum Bruto subire non dubitavit.

Φαώνιος] De M. Favonio cf. c. 34. ἐραστὴς γεγονὼς Κάτωνος, οὐ λόγῳ μᾶλλον ἢ φορᾷ τινι μανικῇ φιλοσοφῶν. Similia habes Caton. 46. refertque Plutarchus saepius (Brut. l. l. Cat. l. l. Pomp. 67. Caes. 21. 33.) eius male sanam libertatem et Catonis imitationem. Eundem tamen Pomp. 73. videmus ingenua pietate amici olim magni tristes casus sequentem atque solantem. Cf. etiam Suet. Aug. 13. Val. Max. VI. 2, 7.

κύκλῳ] non recta via sed per ambages eos adiens, quo etiam quaestio ipsa (τὸ πρόβλημα) non προεβάλλετο sed περιεβάλλετο.

τῷ σοφῷ — διὰ φαύλους] „Sic saepe φαῦλος opponitur τῷ σοφός. Veluti apud Euripid. Phoen. 495. ἀλλὰ καὶ σοφοῖς καὶ τοῖσι φαύλοις ἔνδικ', ὡς ἐμοὶ δοκεῖ. Est enim φαῦλος, sim-

κύκλῳ περιβαλόντος ἐν τῷ διαλέγεσθαι καὶ συμφιλοσοφεῖν πεῖραν, ὁ μὲν Φαώνιος ἀπεκρίνατο, χεῖρον εἶναι μοναρχίας παρανόμου πόλεμον ἐμφύλιον, ὁ δὲ Στατίλιος ἔφη, τῷ σοφῷ καὶ νοῦν ἔχοντι διὰ φαύλους καὶ ἀνοήτους κινδυνεύειν καὶ ταράττεσθαι μὴ καθήκειν. Παρὼν δὲ Λαβεὼν ἀντεῖπεν ἀμφοτέροις. Καὶ ὁ Βροῦτος τότε μέν, ὡς ἔχοντός τι τοῦ λόγου χαλεπὸν καὶ δύσκριτον, ἀπεσιώπησεν, ὕστερον δὲ Λαβεῶνι κοινοῦται τὸ βούλευμα. Δεξαμένου δὲ προθύμως, τὸν ἕτερον Βροῦτον ἐπίκλησιν Ἀλβῖνον, ἄλλως μὲν οὐκ ὄντα ῥέκτην οὐδὲ θαῤῥαλέον, ἐῤῥωμένον δὲ πλήθει μονομάχων, οὓς ἐπὶ θέᾳ Ῥωμαίων ἔτρεφε, καὶ παρὰ Καίσαρι πιστευόμενον, ἐδόκει προσάγεσθαι. Κασσίου δὲ καὶ Λαβεῶνος αὐτῷ διαλεγομένων οὐδὲν ἀπεκρίνατο, Βρούτῳ δ' αὐτὸς ἐντυχὼν ἰδίᾳ καὶ μαθὼν, ὅτι τῆς πράξεως ἡγεμών ἐστιν, ὡμολόγησε συμπράξειν προθύμως. Καὶ τῶν ἄλλων δὲ

plex." Fabr. Kun. his addit Plat. Hipp. ma. c. 3. p. 281. d. Thuc. III. 37. *οἱ φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους.*

διὰ φαύλους] eorum in usum, quo illi fruantur.

καθήκειν] esse *καθῆκον*, officium. v. Cic. off. I. 3, 8.

Λαβεών] Hunc quoque commemorat infra c. 51. Fuit hic Antistius Labeo *ἐπὶ σοφίᾳ γνώριμος, ὁ πατὴρ Λαβεῶνος τοῦ κατ' ἐμπειρίαν νόμων ἔτι νῦν περιωνύμου.* Appian. IV. 135. (De filio vid. Bentl. ad Hor. Serm. I. 3, 83.)

τὸν ἕτερον] Vulg. *τόν θ' ἕτερον.* Sch. copulam eiecit „quia quod referas ad eam nihil sequitur."

Ἀλβῖνον] Vulg. *Λαβίηνον*, quem manifestum errorem iam H. Stephanus sustulit e Caes. 64. in. Notus est D. Iunius Brutus Albinus, *πιστευόμενος ὑπὸ Καίσαρος ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι* (Plut. l. l. cf. Suet. Caes. 83. App. II. 143. Dion. XLIV. 35.), praesertim infelici casu in bello Mutinensi contra Antonium gesto. Cf. c. 28. Olim in bello Gallico (Caes. Gall. III. 11.) et deinde in bello civili (Id. civ. I. 36. II. 5—7.) adversus Massilienses classi praefectus, Caesare in Macedoniam abeunte, Galliae praepositus erat. (App. II. 48.)

ῥέκτην] „*δραστήριον.* V. Lobeckius ad Sophocl. Aiac. p. 289." Schaef.

τῶν ἄλλων] App. II. 113. nominat Caecilium et Bucolianum fratres, Rubrium Rugam, Q. Ligarium, M. Spurium, P. Servilium Cascam, Serv. Sulpicium Galbam, Sestium Nasonem, Pontium Aquilam, et Caesaris ex amicis cum D. Bruto C. Cascam, C. Trebonium, L. Tillium Cimbrum, L. Minucium Basilum. His addit Casaub. ad Suet. Caes. 80. P. Turullium, Sext. Popilium Laenatem (sed vide Plut. c. 15.), Atilium, L. Cornelium Cinnam, Cassium Parmensem, et de quibus

τοὺς πλείστους καὶ τοὺς ἀρίστους ἡ δόξα τοῦ Βρούτου προσήγετο. Καὶ μήθ' ὅρκον συνομόσαντες μήτε πίστιν καθ' ἱερῶν λαβόντες ἢ δόντες, οὕτως ἅπαντες ἔσχον ἐν ἑαυτοῖς καὶ κατεσιώπησαν καὶ συνδιήνεγκαν, ὥστε μαντείαις καὶ φάσμασι καὶ ἱεροῖς ὑπὸ τῶν θεῶν προδεικνυμένην ἄπιστον γενέσθαι τὴν πρᾶξιν.

XIII. Ὁ δὲ Βροῦτος, ἅτε δὴ τὰ πρῶτα τῆς Ῥώμης φρονήματα καὶ γένη καὶ ἀρετὰς ἐξηρτημένος ἑαυτοῦ καὶ περινοῶν πάντα τὸν κίνδυνον, ἔξω μὲν ἐπειρᾶτο κατέχειν παρ' ἑαυτῷ καὶ κατακοσμεῖν τὴν διάνοιαν, οἴκοι δὲ καὶ νύκτωρ οὐκ ἦν ὁ αὐτός, ἀλλὰ τὰ μὲν ἄκοντα τῶν ὕπνων αὐτὴ ἡ φροντὶς ἐξέφερε, τὰ δὲ μᾶλλον ἐνδυόμενος τῷ λογισμῷ καὶ διατρίβων ἐν ταῖς ἀπορίαις οὐκ ἐλάνθανε τὴν γυναῖκα συναναπαυομένην, ὅτι μεστός ἐστι ταραχῆς ἀήθους καὶ κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βούλευμα καὶ δυςεξέλικτον. Ἡ δὲ Πορκία θυγάτηρ μέν, ὥςπερ εἴρηται, Κάτωνος ἦν,

dubitat, Cn. Domitium Aënobarbum et Sext. Pompeium. Primarios vide etiam Cic. Phil. II. 11.

καθ' ἱερῶν] Notanda praepositionis vis: „super sacra vel victimas", i. e. manum supra ea tenendo et deorsum (quod est pr. κατά c. gen.) in ea intuendo. Frequens est hic usus cum verbo ὀμνύναι, cui par habemus πίστιν λαβεῖν ἢ δοῦναι.

συνδιήνεγκαν] Inest verbo διαφέρειν et celatae et ad finem perductae rei notio. „Infra c. 13. εἰ μήτε σοι πάθος ἀπόῤῥητον συνδιοίσω μήτε φροντίδα πίστεως δεομένην, ubi mox sequitur λόγον ἐνεγκεῖν ἀπόῤῥητον." Sch. — Quaeri possit, num genuinum sit καὶ κατεσιώπησαν nec potius explicatio verbi difficilioris.

Cap. XIII. κατέχειν καὶ κατακοσμεῖν τὴν διάνοιαν] Zeugma quoddam, quum mens, cogitatio ipsa tantum cohibeatur, componatur vero eius imago vultu expressa,

τὰ μὲν — τὰ δὲ] „partim — partim, V. c. 49. τὰ μὲν ὑπ' ὀργῆς, τὰ δὲ φόβῳ." Schaef.

αὐτὴ] An scribendum αὐτόν? Quid enim velit αὐτὴ ἡ φροντίς, cuive rei opponatur non video: contra objectum quod aiunt desidero.

κυκλεῖ] „Sic Latini etiam suo *volvere* de cogitationibus, quas quis concepit animo, utuntur. Liv. VI. 28. *cogitationes inanes volvere*, Virg. Aen. VII. 254. *sub pectore curas volvit*. Non multum dissimilis est usus verbi κυλίνδειν, ut in Plut. Pyrrh. 30. ἐλπίδας ἐξ ἐλπίδων δεὶ κυλίνδων." Fabr.

ὥςπερ εἴρηται] V. c. 2. Id. — κόρην] „νέαν." Cor.

εἶχε δ' αὐτὴν ὁ Βροῦτος ἀνεψιὸς ὢν οὐκ ἐκ παρθενίας, ἀλλὰ τοῦ προτέρου τελευτήσαντος ἀνδρὸς ἔλαβε κόρην οὖσαν ἔτι καὶ παιδίον ἔχουσαν ἐξ ἐκείνου μικρὸν, ᾧ Βίβλος ἦν ὄνομα· καί τι βιβλίδιον μικρὸν ἀπομνημονευμάτων Βρούτου γεγραμμένον ὑπ' αὐτοῦ διασώζεται. Φιλόσοφος δ' ἡ Πορκία καὶ φίλανδρος οὖσα καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος, οὐ πρότερον ἐπεχείρησεν ἀνερέσθαι τὸν ἄνδρα περὶ τῶν ἀπορρήτων ἢ λαβεῖν ἑαυτῆς τοιαύτην διάπειραν. Λαβοῦσα μαχαίριον ᾧ τοὺς ὄνυχας οἱ κουρεῖς ἀφαιροῦσι, καὶ πάσας ἐξελάσασα τοῦ θαλάμου τὰς ὀπάδους, τομὴν ἐνέβαλε τῷ μηρῷ βαθεῖαν, ὥςτε ῥύσιν αἵματος πολλὴν γενέσθαι καὶ μετὰ μικρὸν ὀδύνας τε νεανικὰς καὶ φρικώδεις πυρετοὺς ἐπιλαβεῖν ἐκ τοῦ τραύματος. Ἀγωνιῶντος δὲ τοῦ Βρούτου καὶ δυςφοροῦντος, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα διελέχθη πρὸς αὐτὸν οὕτως· „Ἐγώ, Βροῦτε, Κάτωνος οὖσα θυγάτηρ εἰς τὸν σὸν ἐδόθην

Βίβλος] Cor. emendavit vulg. *Βύβλος*. Esse hunc L. Calpurnium Bibulum eundem, quem App. IV. 136. ait post pugnam Philippensem Antonio se dedisse, verisimile est. Neque obstat aliquid (concludendum potius e Plut. Cat. 47. *Βίβλος ὢν οἰκεῖος Κάτωνος*) patrem eius fuisse M. Calp. Bibulum, Iul. Caesaris collegam in consulatu et summum adversarium, de quo videndi Caesar bell. civ. III. 7—18. Suet. Caes. 19 s. Plut. Caes. 14. Cic. ad Att. II. 19—24 et passim. — Ceterum duos fuisse Porciae ex Bibulo liberos refert Plut. Cat. 25. — De Bibuli libello cf. Heeren. de fontibus Plutarchi p. 172. s.

φρονήματος νοῦν ἔχοντος] Quum *φρόνημα*, quod omnino altiores spiritus significat, etiam sine laude alicui tribui possit, addit rationis laudem. Sic Thes. 6. *φρόνημα μετὰ νοῦ καὶ συνέσεως βέβαιον*. Vid. Fabr. et Cor. notas. — Porciae factum etiam Val. Max. III. 2, 15. refert, sed minus recte eodem quo Caesar necatus est die accidisse ait, illamque voluisse *experiri*, *si Bruto propositum ex sententia parum cessisset*, *quam aequo animo se ferro esset interemptura*. Magis etiam confuse cum Porciae morte haec narrat Polyaenus Stratt. VIII. 32.

ᾧ τοὺς ὄνυχας οἱ κουρεῖς ἀφαιροῦσι] Tonsorum praeter barbam radendam etiam negotium erat capillos detondere et ungues resecare. Quae fusius cognoscere si velis, adeas Böttigeri ex Sabina p. 332. locum apud Fabricium.

νεανικὰς] „*σφοδράς*". Cor. Aeque neglecta propria significatione Numae in. *ἔστι δὲ καὶ περὶ τῶν Νουμᾶ τοῦ βασιλέως χρόνων, καθ' οὓς γέγονε, νεανικὴ διαφορά.*

ἐγώ, Βροῦτε] Quaeri potest, utrum ὦ vocativo solenne post ω voc. *ἐγώ* librarii obliti sint, an ipse Plutarchus euphoniae causa omi-

οἶκον οὐχ, ὥςπερ αἱ παλλακευόμεναι, κοίτης μεθέξουσα καὶ τραπέζης μόνον, ἀλλὰ κοινωνὸς μὲν ἀγαθῶν εἶναι, κοινωνὸς δ' ἀνιαρῶν. Τὰ μὲν οὖν σὰ πάντη περὶ τὸν γάμον ἄμεμπτα, τῶν δὲ παρ' ἐμοῦ τίς ἀπόδειξις ἢ χάρις, εἰ μήτε σοὶ πάθος ἀπόρρητον συνδιοίσω μήτε φροντίδα πίστεως δεομένην; Οἰδ' ὅτι γυναικεία φύσις ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν ἀπόρρητον· ἀλλ' ἔστι τις, ὦ Βροῦτε, καὶ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρηστῆς εἰς ἦθος ἰσχύς, ἐμοὶ δὲ καὶ τὸ Κάτωνος εἶναι θυγατέρα καὶ τὸ Βρούτου γυναῖκα πρόςεστιν· οἷς πρότερον μὲν ἧττον ἐπεποίθειν, νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον εἶναι." Ταῦτ' εἰποῦσα δείκνυσιν αὐτῷ τὸ τραῦμα καὶ διηγεῖται τὴν πεῖραν. Ὁ δ' ἐκπλαγεὶς καὶ ἀνατείνας τὰς χεῖρας ἐπεύξατο δοῦναι τοὺς θεοὺς

serit. Quaestio eadem se offert c. 40. νέος ὢν ἐγώ, Κάσσιε, et Cic. 26. χρῶ σήμερον τῷ καιρῷ, Σήστιε. Alias observavimus, ὦ deesse post pron. pers. sec. ut Brut. 40. μαρτύρομαί σε, Μεσσάλα. Cat. 4. μέμφονταί σου, Κάτων; vel ubi orationi quaedam contemnendi vel obiurgandi notio inest, ut Brut. 9. Caes. 62. Βροῦτε, καθεύδεις; 45. extr. τί οὖν ἐμοῦ πυνθάνεσθε, Κάσκα; 50. Μάρκον μέν, Ἀντώνιε, Βροῦτον κ. τ. λ. Ant. 76. τί ἔτι μέλλεις, Ἀντώνιε; His exceptis vix ullo in loco (ut Caes. 65. τοῦτο, ἔφη, Καῖσαρ, ἀνάγνωθι κ. τ. λ.) simplicem vocativum reperies. Sufficiet huius vitae locos indicare: Cap. 9. 10. 11. 13. 15. 36. 37. 40. 45.

κοινωνὸς — εἶναι] Simplex infinitivus pro ὥςτε εἶναι vel ἵνα, ὡς εἶην poëticum colorem refert quem interdum Plutarchus, praesertim in talibus sermonibus adhibet. Eodem pertinet repetitum κοινωνός, quod tamen saepius occurrit. Cf. c. 9. πολλοῖς μὲν λόγοις — πολλαὶ δὲ φῆμαι c. 20. ἐν μέσῳ πολλῶν μὲν ἱερῶν, πολλῶν δὲ ἀσύλων καὶ ἀβεβήλων τόπων. 28. μὴ ναῦν ἐνήρη, μὴ στρατιώτην ἕνα, μὴ πόλιν ἔχοντες. Agid. 2. κάλλιστα μὲν φύντας, κάλλιστα δὲ τραφέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας. Caes. 66. quem locum v. infra.

πρόςεστιν] τῷ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρηστῆς τετυχηκέναι, ut iam Reiske recte supplevit. „Quaevis bona educatio et honesta consuetudo indolem emendat: mihi vero haec non mediocria contigerunt, sed eximia, Catonis nempe educatio Brutique consuetudo." Quae parum perpendentes Sol. utrumque, Cor. posterius τὸ in τῷ mutare voluerunt: vera docuit Sch.

κατορθοῦντι] Ita de Bredovii coni. iam in tertia eius editione scriptum pro vulg. κατορθοῦντα, soloeco propter ἀνδρὶ et ἀξίῳ. Idem recepit Sch.

ἀνελάμβανε] v. ad c. 3. annotata.

Cap. XIV. ἐδόκει — πρὸς αὐτῶν] Caes. 66. ἀλλὰ ταῦτα (fati indicia a Caesare neglecta) μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον,

αὐτῷ κατορθοῦντι τὴν πρᾶξιν ἀνδρὶ Πορκίας ἀξίῳ φανῆναι. Καὶ τότε μὲν ἀνελάμβανε τὴν γυναῖκα.

XIV. Προγραφείσης δὲ βουλῆς, εἰς ἣν ἐπίδοξος ἦν ἀφίξεσθαι Καῖσαρ, ἔγνωσαν ἐπιχειρεῖν· καὶ γὰρ ἀθρόοι μετ' ἀλλήλων ἀνυπόπτως ἔσεσθαι τότε καὶ πάντας ἕξειν ὁμοῦ τοὺς ἀρίστους καὶ πρώτους ἄνδρας, ἔργου μεγάλου πραχθέντος εὐθὺς ἀντιλαμβανομένους τῆς ἐλευθερίας. Ἐδόκει δὲ καὶ τὸ τοῦ τόπου θεῖον εἶναι καὶ πρὸς αὐτῶν. Στοὰ γὰρ ἦν, μία τῶν περὶ τὸ θέατρον, ἐξέδραν ἔχουσα, ἐν ᾗ Πομπηΐου τις εἰκὼν εἱστήκει, τῆς πόλεως στησαμένης, ὅτε ταῖς στοαῖς καὶ τῷ θεάτρῳ τὸν τόπον ἐκεῖνον ἐκόσμησεν. Εἰς ταύτην οὖν ἡ σύγκλητος ἐκαλεῖτο τοῦ Μαρτίου μηνὸς μάλιστα μεσοῦντος· Εἰδοὺς Μαρτίας τὴν ἡμέραν Ῥωμαῖοι κα-

ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δ' ἀνάθημα γεγονώς, παντάπασιν ἀπέφηνε δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. Vide etiam quae haec excipiunt de Cassio Pompeii statuam intuente. coll. Brut. c. 17.

πρὸς αὐτῶν] eorum commodo, pro iis, usu rariore, quem arcte sequitur lat. „a partibus alicuius stare". Vide quos Passovius in lex. excitat.

μία] R. est coni. pro vulg. μίαν. Sic quoque facile hoc numerali careremus.

ἐξέδραν] R. male explicavit, melius Pass. sed in eo falsus, quod uni huic porticui hoc nomen fuisse ait. Est vernaculum *Saal*. Vitruv. VI. 3, 8.

περὶ τὸ θέατρον] Pompeius post insignes de Piratis et Mithridate victorias a. u. 699. theatrum exstruxit (Dio Cass. XXXIX. 38. Cic. ad fam. VII. 1.) extra urbem prope Tiberim in Circi Flaminii regione. Fuit hoc primum perpetuum (Tac. Ann. XIV. 20.), ad imaginem Mitylenaei formatum (Plut. Pomp. 42.), supra sedes caveae stabat templum Veneris Victricis (Tertullian. de spectaculis c. 10. Suet. Claud. 21.). Plura dat Nardini Roma antica VI. 3.

εἰς ταύτην οὖν ἐκαλεῖτο κ. τ. λ.] App. II. 115. θέαι δ' ἦσαν ἐν τῷ Πομπηΐου θεάτρῳ, καὶ βουλευτήριον εμελλε τῶν τις περὶ αὐτὸ οἴκων (immo ad hoc ipsum exstructa curia) ἔσεσθαι, εἰωθὸς ἐπὶ ταῖς θέαις ὧδε γίγνεσθαι. Ludi futuri erant hoc die propter Annae Perennae festum v. Ovid. Fast. III. 523—710. Sil. Ital. VIII. 50—202. Macrob. Saturn. I. 12. Orellii Inscrr. II. p. 387. coll. 412.

Εἰδοὺς] Sch. correxit pro Εἰδοῦς. Rectum etiam Steph. dederat. Notior est Graeca divisio μηνὸς ἱσταμένου vel ἀρχομένου, μεσοῦντος et φθίνοντος, quam quae explicatione egeat.

λοῦσιν· ὥςτε καὶ δαίμων τις ἐδόκει τὸν ἄνδρα τῇ Πομπηΐου δίκῃ προςάξειν. Ἐλθούσης δὲ τῆς ἡμέρας Βροῦτος μὲν ὑποζωσάμενος ἐγχειρίδιον μόνης συνειδυίας τῆς γυναικὸς προῆλθεν, οἱ δ' ἄλλοι πρὸς Κάσσιον ἀθροισθέντες τὸν υἱὸν αὐτοῦ τὸ καλούμενον ἀνδρεῖον ἱμάτιον ἀναλαμβάνοντα κατῆγον εἰς ἀγοράν. Ἐκεῖθεν δὲ πάντες εἰς τὴν Πομπηΐου στοὰν ἐμβαλόντες διέτριβον, ὡς αὐτίκα Καίσαρος ἀφιξομένου πρὸς τὴν σύγκλητον. Ἔνθα δὴ μάλιστα τῶν ἀνδρῶν τὸ ἀπαθὲς καὶ παρὰ τὰ δεινὰ καθεστηκὸς ἐθαύμασεν ἄν τις εἰδὼς τὸ μέλλον, ὅτι πολλοῖς διὰ τὸ στρατηγεῖν ἀναγκαζόμενοι χρηματίζειν οὐ μόνον πρᾴως ἠκροῶντο τῶν ἐντυγχανόντων καὶ διαφερομένων ὥςπερ σχολάζοντες, ἀλλὰ καὶ τὰς κρίσεις ἑκάστοις ἀκριβεῖς καὶ μετὰ γνώμης ἐδίδοσαν ἐπιμελῶς προςέχοντες. Ἐπεὶ δέ τις μὴ βουλόμενος δίκην ὑποσχεῖν ἐπεκαλεῖτο Καίσαρα καὶ πολὺς ἦν βοῶν καὶ μαρτυρόμενος, ἀποβλέψας Βροῦτος εἰς τοὺς παρόντας „Ἐμὲ Καῖσαρ" εἶπεν „οὔτε κωλύει ποιεῖν τὰ κατὰ τοὺς νόμους οὔτε κωλύσει."

XV. Καίτοι πολλὰ θορυβώδη κατὰ τύχην αὐτοῖς

ἀνδρεῖον ἱμάτιον] Togam virilem quum quis filio daret, officium erat amicorum solennem hunc diem celebrare: prima erat deductio in forum, ubi res peragebatur. V. Plin. ep. I. 9. Suet. Aug. 26. Ἀναλαμβάνειν recte Lat. vertit *sumere*.

ἐμβαλόντες] Cum delectu adhibuit vocabulum violentam veluti militum turbam exhibens.

παρὰ] „Cor. de suo dedit probatum etiam Wyttenbachio ad Moralia p. 1043. Vulg. *περί*." Schaef. Cor. contulit Pelop. et Marc. comp. 3. τοῦ παρὰ τὰ δεινὰ πολλάκις ἐξιστάντος τὸν λογισμὸν ἐνθουσιασμοῦ. R. coniecerat πρός.

τὸ καθεστηκός] firmitatem. Participium neutrum substantivi (abstracti quod dicunt) loco adhibitum multis explicat Fabr. Valet autem hoc omnino de adiectivo neutro. Vid. Usteri. ad Consol. p. 4.

πολλοῖς] Sic Bry. e cod. V. Vulgo πολλοί, quod sensum perdebat.

ἑκάστοις] Vulg. ἕκαστος, quod quum οἱ ἄνδρες nonnisi Brutus et Cassius sint, Sch. idem quod ἑκάτερος valere ait, citans sua ad H. Stephani Thes. c. 3655. D. Sed et adeo alienus ab hoc loco est usus ille, et id ipsum, *utrumque* hoc fecisse, adeo supervacaneum erat adiici, contra tam apte res eo augeri videtur, si *cuique* illos ita se praebuisse narratur, ut non potuerim non in textum admittere coniecturam unius literae, praesertim inter tot alias coniecturas, quas a codicibus destituti sequi debemus.

προςέπεσε· πρῶτον μὲν καὶ μάλιστα τὸ βραδύνειν τὸν Καίσαρα τῆς ἡμέρας προηκούσης, καὶ δυςιεροῦντα κατέχεσθαι μὲν ὑπὸ τῆς γυναικὸς οἴκοι, κωλύεσθαι δὲ προελθεῖν ὑπὸ τῶν μάντεων· δεύτερον δὲ Κάσκα τῶν συνειδότων ἑνὶ προςελθών τις καὶ λαβόμενος τῆς δεξιᾶς „Σὺ μὲν" εἶπεν „ἀπεκρύψω τὸ ἀπόρρητον, ὦ Κάσκα, πρὸς ἡμᾶς, Βροῦτος δέ μοι πάντα μεμήνυκεν." Ἐκπλαγέντος δὲ τοῦ Κάσκα γελάσας ἐκεῖνος „Πόθεν γ'" ἔφη „ταχέως οὕτως, ὦ μακάριε, πεπλούτηκας, ὥςτ' εἰς ἀγορανομίαν ἀποδύεσθαι;" Παρὰ τοσοῦτον μὲν ὁ Κάσκας ἦλθε σφαλεὶς ἀμφιβολίᾳ προέσθαι τὸ ἀπόρρητον. Αὐτὸν δὲ Βροῦτον καὶ Κάσσιον ἀνὴρ βουλευτικός, Ποπίλιος Λαίνας, ἀσπασάμενος προθυμότερον καὶ ψιθυρίσας ἠρέμα „Συνεύχομαι" φησὶν „ὑμῖν ἐκτελεῖν ἃ κατὰ νοῦν ἔχετε, καὶ παρακελεύομαι μὴ βραδύνειν· οὐ γὰρ σιωπᾶται τὸ πρᾶγμα." Καὶ ταῦτ' εἰπὼν ἀπέστη, πολλὴν ὑποψίαν ἐμβαλὼν τοῦ πεπύσθαι τὴν πρᾶξιν. Ἐν τούτῳ δέ τις οἴκοθεν ἔθει πρὸς τὸν Βροῦτον ἀγγέλλων αὐτῷ τὴν γυναῖκα θνήσκειν. Ἡ γὰρ Πορκία πρὸς τὸ μέλλον ἐκπαθὴς οὖσα καὶ τὸ μέγεθος μὴ φέρουσα τῆς

μαρτυρόμενος] „De meo dedi pro vulgari *μαρτυρούμενος*. Non enim dicitur *μαρτυρεῖσθαί τινα*, sed *μαρτύρεσθαι*." Reiske.

Cap. XV. *δυςιεροῦντα — μάντεων*] Nota sunt varia illa signa infausta, quae narrantur Caes. 63 — 65. Cf. etiam Suet. Caes. 81. Vell. II. 57. Dion. XLIV. 17. 18. Appianus (II. 115. 116.) ut solet Plutarchum sequitur.

Κάσκα] P. aut C. Servilius Casca, alter e fratribus. v. c. 45.

Πόθεν γ', ἔφη] „Illud *γέ* quid sibi hoc loco velit non capio. Itaque delendum censeo." Fabr. Delevit Sch. sed annotat: „Nollem factum. *πόθεν γε* contentius interrogat quam simplex *πόθεν*. Nisi forte scribendum *πόθεν γὰρ*." Vid. Herm. ad Soph. Phil. 439. Arist. Nub. 685. De *γάρ* cf. Uster. l. l. p. 38. Videtur autem ubique tali *γάρ* praecedere aliquid debuisse.

ἀποδύεσθαι] quod faciunt luctatores pugnaturi, de omni praeparatione et conatu dicitur. Ita Agid. 6. *συναπεδύσαντο πρὸς τὴν ἀρετήν*. Alia imagine latini et *accingi* et *in arenam descendere* dicunt.

παρὰ τοσοῦτον] „Bene interpres: *Tantulum modo abfuit, quin.*" Schaef. Vide quos Pass. in lex. excitat. Cf. c. 38. *οὐ παρ' ὀλίγον ἐλείποντο.*

Ποπίλιος Λαίνας] Quis hic fuerit ex pluribus eius nominis viris hoc aevo memoratis, non patet. Caes. 5. reperimus C. Popilium Caesari tribunatus competitorem.

φροντίδος, ἑαυτήν τε μόλις οἴκοι κατεῖχε, καὶ πρὸς πάντα θόρυβον καὶ βοὴν, ὥςπερ αἱ κατάσχετοι τοῖς βακχικοῖς πάθεσιν, ἐξάττουσα τῶν μὲν εἰςιόντων ἀπ' ἀγορᾶς ἕκαστον ἀνέκρινεν, ὅ τι πράττοι Βροῦτος, ἑτέρους δὲ συνεχῶς ἐξέπεμπε. Τέλος δὲ τοῦ χρόνου μῆκος λαμβάνοντος οὐκέτ' ἀντεῖχεν ἡ τοῦ σώματος δύναμις, ἀλλ' ἐξελύθη καὶ κατεμαραίνετο, τῆς ψυχῆς ἀλυούσης διὰ τὴν ἀπορίαν· καὶ παρελθεῖν μὲν εἰς τὸ δωμάτιον οὐκ ἔφθη, περιίστατο δ' αὐτήν, ὥςπερ ἐτύγχανεν, ἐν μέσῳ καθεζομένην λειποθυμία καὶ θάμβος ἀμήχανον, ἥ τε χρόα μεταβολὴν ἐλάμβανε καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν. Αἱ δὲ θεράπαιναι πρὸς τὴν ὄψιν ἀνηλάλαξαν, καὶ τῶν γειτόνων συνδραμόντων ἐπὶ θύρας ταχὺ προῆλθε φήμη καὶ διεδόθη λόγος ὡς τεθνηκυίας αὐτῆς. Οὐ μὴν ἀλλ' ἐκείνην μὲν ἀναλάμψασαν ἐν

ἐξάττουσα] R. e Iunt. (Ald. Steph.) restituit pro vulg. ἐξάλλουσα. Ille quidem ἐξάττουσα, quod Cor. et Sch. correxerunt.

ἐξελύθη] Mar. 36. τῷ σώματι, πρὶν παντάπασιν ἐκλελύσθαι, χρήσασθαι βουλόμενος. Quis non meminerit Homericorum λύτο γούνατα, γυῖα, λέλυται μένος, βίη, ψυχή?

παρελθεῖν — οὐκ ἔφθη] Notandus est infinitivus pro participio, cuius exempla dat (cit. Kun.) Matth. §. 553. Nota 2. Recurrit c. 41. ὀλίγοι ἔφθασαν ἀκοῦσαι. Cf. c. 13. ἐμαυτὴν ἔγνωκα ἀήττητον εἶναι.

ἐν μέσῳ] „in atrio vel cavaedio, sub dio." Reiske. Idem est quod παρελθεῖν εἰς τὸ δωμάτιον οὐ φθάσασα. Cf. Caes. 68. διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον.

λειποθυμία] „Praestat λιποθυμία. Conf. Apparat. ad Demosthen. T. III. p. 400. Schaef. (Ald. Bas. λυποθυμία.) Verbum περιίστασθαι nescio quid poetici habet. Cf. Ages. 27. λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον.

θάμβος] h. l. de corporis torpore, ubi animus et sensus ad percipiendum et membra ad agendum deficiunt, *Starrheit*.

οὐ μήν γε] „De meo dedi. Vulg. οὐ μὴν δὲ. Probabilior verborum ordo foret: οὐ μὴν τὸ κοινόν γε κατέλιπε. Sed etiam οὐ μήν γε ferendum in scriptoribus graecitatis citerioris." Schaef.

οὐδ' ἐῤῥύη — πάθους] Verba, de quibus R. Bred. et Fabr. disputaverunt, optime explicavisse aestimo interpretem latinum: *neque ex animi motu ad privatum incommodum decurrit*. Τὸ πάθος est τὸ συνταραχθῆναι. Ceterum ἐῤῥύη vertas potius *delapsus est*, *decidit*, quum huic verbo patiendi notio insit.

Cap. XVI. ἐγνώκει γὰρ κ. τ. λ.] Caes. 64. (cf. Suet. 81. Dio 18.) expositum est, ut Caesarem Calpurniae et haruspicibus iam obtemperantem senatumque per Antonium dimittere volentem D. Brutus tandem

βραχεῖ καὶ παρ' ἑαυτῇ γενομένην αἱ γυναῖκες ἐθεράπευον, ὁ δὲ Βροῦτος ὑπὸ τοῦ λόγου προςπεσόντος αὐτῷ συνεταράχθη μὲν ὡς εἰκός, οὐ μήν γε κατέλιπε τὸ κοινὸν οὐδ' ἐρρύη πρὸς τὸ οἰκεῖον ὑπὸ τοῦ πάθους.

XVI. Ἤδη δὲ Καῖσαρ ἀπηγγέλλετο προςιὼν ἐν φορείῳ κομιζόμενος· ἐγνώκει γὰρ ἐπὶ τοῖς ἱεροῖς ἀθυμῶν μηδὲν ἐπικυροῦν τότε τῶν μειζόνων, ἀλλ' ὑπερβαλέσθαι σκηψάμενος ἀσθένειαν. Ἐκβάντι δ' αὐτῷ τοῦ φορείου προςρυεὶς Ποπίλιος Λαίνας, ἐκεῖνος ὁ μικρῷ πρόσθεν εὐξάμενος τοῖς περὶ Βροῦτον ἐπιτυγχάνειν καὶ κατορθοῦν, διελέγετο πλείω χρόνον ἐφιστα-μένῳ καὶ προςέχοντι τὸν νοῦν. Οἱ δὲ συνωμόται, λεγέσθω γὰρ οὕτως, τῆς μὲν φωνῆς οὐκ ἐπαΐοντες αὐτοῦ, τεκμαιρόμενοι δ' ἀφ' ὧν ὑπενόουν μήνυσιν εἶναι τῆς ἐπιβουλῆς τὴν κοινολογίαν, ἀνέπεσόν τε ταῖς γνώμαις

e sententia moverit et paene invitum produxerit. Ibidem et cap. 65. variae in ipso itinere indicationes quomodo frustratae sint narratur.

ὑπερβαλέσθαι] e Bruti consilio (Caes. l. l.): ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προςαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. Ceterum R. ad ὑπερβαλέσθαι desiderat πάντα, immo suppleas αὐτά, τὰ μείζονα. Bred. de aoristo dubitavit, Fabr. hoc miratus est sed nihil explicans, Sch. malit ὑπερβάλλεσθαι. Mihi hic quoque aoristo sua vis inesse videtur rei semel transactae: τὸ ἐπικυροῦν autem eo ipso quod in tempus incertum differebatur, deque rebus non iam definitis dicitur, latiore praesentis notione distingui. Accuratiorem esse in his temporibus distinguendis Plutarchum iam ad c. 8. extr. dixi: videturque in elegantiis eius fuisse etiam in coniunctis verbis variare, simulac notio id permitteret.

σκηψάμενος ἀσθένειαν] „Quod ut esset probabilius, ἐν φορείῳ ἐκομίζετο." Schaef.

ἐπιτυγχάνειν] ὧν κατὰ νοῦν ἔχουσιν.

λεγέσθω γὰρ οὕτως] Reiske hoc dictum arbitratur, quia Plutarchus invitus vocabulo probroso usus sit de viris honestis; Sch. contra eo pertinere, quod illi οὔθ' ὅρκον ὤμοσαν οὔτε πίστιν καθ' ἱερῶν ἔλαβον ἢ ἔδοσαν (c. 12. extr.). Simplici quam hic habemus narrationi hoc aptius videtur; fatendum tamen, exemplum ab ipso Sch. allatum etiam Reiskianae explicationi favere: Arat. 38. εἰ δὲ Κλεομένης ἦν, λεγέσθω γὰρ οὕτως, παράνομος καὶ τυραννικός.

ἀνέπεσον ταῖς γνώμαις] „Interpres: *ceciderunt animis*. Thomas Mag. p. 60. ἀναπεσεῖν — ἐπὶ τοῦ ἀθημονῆσαι καὶ ἀθυμῆσαι. Potuerat scribi ἀνετράπησαν ταῖς γνώμαις. V. Wyttenbachius ad Plutarch. de S. N. V. p. 57." Schaef. Maior vis inest verbo ἀναπεσεῖν et significatio subiti casus acerbaeque sortis. Cf. Plat. Phaedr. p. 254. e. ὥςπερ ἀπὸ ὕσπληγος ἀναπεσών.

καὶ πρὸς ἀλλήλους ἔβλεψαν ἀνθομολογούμενοι διὰ τῶν προςώπων, ὡς χρὴ μὴ περιμένειν σύλληψιν, ἀλλ᾽ εὐθὺς ἀποθνήσκειν δι᾽ αὐτῶν. Κασσίου δ᾽ ἤδη καί τινων ἄλλων τὰς χεῖρας ἐπιβεβληκότων ταῖς λαβαῖς ὑπὸ τὰ ἱμάτια καὶ σπωμένων τὰ ἐγχειρίδια, Βροῦτος ἐγκατιδὼν τῷ τοῦ Λαίνα σχήματι δεομένου σπουδὴν καὶ οὐχὶ κατηγοροῦντος, ἐφθέγξατο μὲν οὐδὲν διὰ τὸ πολλοὺς ἀλλοτρίους ἀναμεμίχθαι, φαιδρῷ δὲ τῷ προςώπῳ τοὺς περὶ Κάσσιον ἐθάρρυνε. Καὶ μετὰ μικρὸν ὁ Λαίνας τὴν δεξιὰν τοῦ Καίσαρος καταφιλήσας ἀπέστη φανερὸς γενόμενος, ὡς ὑπὲρ ἑαυτοῦ καὶ τῶν αὐτῷ τινος διαφερόντων ἐποιεῖτο τὴν ἔντευξιν.

XVII. Τῆς δὲ βουλῆς εἰς τὴν ἐξέδραν προειςελθούσης οἱ μὲν ἄλλοι τὸν δίφρον τοῦ Καίσαρος περιέστησαν ὡς ἐντυγχάνειν τι μέλλοντες αὐτῷ· καὶ Κάσσιον μὲν λέγεται τρέποντα τὸ πρόςωπον εἰς τὴν εἰκόνα τοῦ

ἀνθομολογούμενοι] invicem sibi hoc indicantes et pollicentes.

ὑπὸ τὰ ἱμάτια] accurate, sed ob id ipsum insolentius quam ὑπὸ τοῖς ἱματίοις.

σπουδὴν] „Sic editum (a R. Cor. Sch.) e Bryani coniectura. Libri dant σπουδῇ. Quod placet Boissonado ad Eunap. T. I. p. 527.: mihi non item." Schaef. Veritatem coniecturae praecipue verba καὶ οὐχὶ arguunt.

φανερὸς ὡς] pro participio. V. Matth. Gr. §. 549. 6. Nota. Cf. ad c. 15. ἔφθη παρελθεῖν.

Cap. XVII. προειςελθούσης] Senatores igitur in porticu exspectabant, dum Caesare adveniente senatus haberetur. Ceterum haec omnia non negliges conferre cum Caes. 66. etiam Suet. 82. Dion. 19. App. 117.

περιέστησαν] iam antequam Caesar eo consederit. Ceterum ad οἱ μὲν ἄλλοι referendum Τρεβώνιος δέ; quod interpungendo expressi.

Κάσσιον — αἰσθανόμενον] Caes. 66. καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ᾽ ὁ καιρός, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος ἀντὶ τῶν προτέρων λογισμῶν.

Τρεβώνιος] C. Trebonius ille qui a. u. 699. tr. pl. lege lata Caesaris, Pompeii et Crassi provincias statuit (Dion. XXXIX. 33.), Caesaris in Hispanica expeditione legatus Massiliam oppugnavit (Caes. civ. I. 36.), a. 706. praetor urbanus a Caesare factus (Caes. civ. III. 20. Dion. XLII. 22.) et ex praetura a. 709. Hispaniae praefectus

Πομπηΐου παρακαλεῖν ὥςπερ αἰσθανόμενον· Τρεβώνιος δὲ περὶ τὰς θύρας Ἀντώνιον ἐπισπασάμενος καὶ προςομιλῶν ἔξω κατέσχε. Καίσαρι δ' εἰςιόντι μὲν ἡ σύγκλητος ὑπεξανέστη, καθεζόμενον δ' εὐθὺς ἐκεῖνοι περιέσχον ἀθρόοι, Τύλλιον Κίμβρον ἐξ ἑαυτῶν προβάλλοντες ὑπὲρ ἀδελφοῦ φυγάδος δεόμενον, καὶ συνεδέοντο πάντες ἁπτόμενοί τε χειρῶν καὶ στέρνα καὶ κεφαλὴν κατεφίλουν. Ἀποτριβομένου δὲ τὰς δεήσεις τὸ πρῶτον, εἶθ', ὡς οὐκ ἀνίεσαν, ἐξανισταμένου βίᾳ, Τύλλιος μὲν ἀμφοτέραις ταῖς χερσὶν ἐκ τῶν ὤμων κατέσπασε τὸ ἱμάτιον, Κάσκας δὲ πρῶτος, εἱστήκει γὰρ ὄπισθεν, ἀνασπάσας τὸ ξίφος διελαύνει οὐκ εἰς βάθος παρὰ τὸν ὦμον. Ἀντιλαμβανομένου δὲ τῆς λαβῆς τοῦ Καίσαρος καὶ μέγα Ῥωμαϊστὶ ἀνακραγόντος „Ἀνόσιε Κάσκα, τί ποιεῖς"; ἐκεῖνος Ἑλληνιστὶ τὸν ἀδελφὸν προςαγορεύσας ἐκέλευσε βοηθεῖν. Ἤδη δὲ παιόμενος

(Dion. XLIII. 29.), tum a. 709. consul suffectus est (Id. l. l. 46.). Idem a Caesare Asiam provinciam accepit (App. Civ. III. 2.), ubi a Dolabella sceleste occisus est. V. Cic. Phil. XI. qui passim in epistolis eum laudat. — Hoc ipsum eius factum refert Phil. II. 14. ad fam. X. 28. Male Plut. Caes. 66. nominatur D. Brutus.

Ἀντώνιον] cf. cap. seq. et quae ibi annotamus.

ὑπεξανέστη] *θεραπεύουσα*, ut ait Caes. l. l.

προβάλλοντες] „Cor. malit *προβαλόντες*. Assentior." Schaef. Sed potius dicas, prius eos Caesarem circumdedisse, et tum Cimbrum proiecisse, quam eos circumdando exspectasse, donec Cimber prodiisset.

Τύλλιον Κίμβρον] Ald. et Bas. *Τίλλιον*. L. Tillius (aliis Tullius) Cimber, praeter has in Caesaris nece partes non notus. Cf. c. 19. extr. Amicum Caesaris fuisse etiam Cic. Phil. II. 11. Seneca de ira III. 30. referunt. (Seneca epist. 83, 11. *Tillius Cimber et nimius erat in vino et scordalus. In hanc rem iocatus est ipse: Ego, inquit, quenquam feram, qui vinum ferre non possum?*)

ἁπτόμενοί τε — καὶ κατεφίλουν] Levis anacoluthia, quales interdum habet Plutarchus, multo saepius veteres. Cf. c. 18. *οἱ μὲν συνεπόμενοι, πολλοὶ δὲ κατῆγον.*

ἀποτριβομένου] Caes. l. l. *ὡς διεκρούετο.*

τὸ ἱμάτιον] Caes. *τὴν τήβεννον.* Caesar tum clamavit: *Ista quidem vis est.* Suet. — *Κάσκας*] v. ad c. 16.

οὐκ εἰς βάθος] *ὡς εἰκὸς ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς.* Caes.

ἀντιλαμβανομένου τῆς λαβῆς] Suet. ait, eum *brachium arreptum graphio traiecisse.*

ὑπὸ πολλῶν καὶ κύκλῳ περιβλέπων καὶ διώσασθαι βουλόμενος, ὡς εἶδε Βροῦτον ἑλκόμενον τὸ ξίφος ἐπ' αὐτόν, τὴν χεῖρα τοῦ Κάσκα κρατῶν ἀφῆκε, καὶ τῷ ἱματίῳ τὴν κεφαλὴν ἐγκαλυψάμενος παρέδωκε τὸ σῶμα ταῖς πληγαῖς. Οἱ δ' ἀφειδῶς ἀναπεπλεγμένοι πολλοῖς περὶ τὸ σῶμα χρώμενοι τοῖς ξίφεσιν ἀλλήλους ἐτίτρωσκον, ὥςτε καὶ Βροῦτον εἰς τὴν χεῖρα πληγὴν λαβεῖν τοῦ φόνου συνεφαπτόμενον, πίμπλασθαι δὲ τοῦ αἵματος ἅπαντας.

XVIII. Οὕτω δ' ἀποθανόντος αὐτοῦ, Βροῦτος μὲν εἰς μέσον προελθὼν ἐβούλετο λέγειν καὶ κατεῖχε θαρρύνων τὴν σύγκλητον, ἡ δ' ὑπὸ δέους ἔφευγεν ἀτάκτως καὶ περὶ τὰς θύρας ὠθισμὸς ἦν καὶ τάραχος, οὐδενὸς διώκοντος οὐδὲ κατεπείγοντος· ἰσχυρῶς γὰρ ἐδέδοκτο μηδένα κτείνειν ἕτερον, ἀλλὰ πάντας ἐπὶ τὴν

διώσασθαι βουλόμενος] Caes. ἀπομαχόμενος καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα καὶ κεκραγώς.

ἑλκόμενον τὸ ξίφος] Articulum Sch. de suo addidit. Sic Caes. l. l. ἐσπασμένον τὸ ξίφος, et supra ἀνασπάσας τὸ ξίφος. — Caes. καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα (App. ἐς τὸν μηρόν). ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. Notum est, quod Suet. et Dio referunt sed non ut certum, Bruto eum dixisse: καὶ σύ, τέκνον;

κρατῶν ἀφῆκε] Plane graecam constructionem adverte, quod recentiores dicerent ἧς ἐκράτει vel οὐκέτι ἐκράτει ἀλλ' ἀφῆκε.

ταῖς πληγαῖς] εἴκοσι καὶ τρία (τραύματα) λαβεῖν λέγεται. Caes.

περὶ τὸ σῶμα] circa id corpus, sc. Caesaris quod diximus; ut non necesse sit cum R. ἐπὶ τὸ ἑνὸς σῶμα.

ἀναπεπλεγμένοι χρώμενοι] utendo sese implicantes. Non inusitatum est Plutarcho participio alterum coniungere quasi verbo finito. Cleom. 2. ἀμελουμένων δὲ τῶν κοινῶν κατ' ἰδίαν ἑκάστου πρὸς αὑτὸν ἕλκοντος τὸ κερδαλέον. (Steph. dedit καὶ κατ' ἰδίαν sed praeter necessitatem.) Demosth. 14. τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αἰτίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων. (Hic quoque Cor. ὡς δ' οὐχ.) Timol. 9. in. σπεύδοντες τὸ πέλαγος διαπλέοντες. Ibid. 11. πολλὰ διαλεχθεὶς πρὸς τὸν Ἀνδρόμαχον ἐπαχθῶς καὶ βαρβαρικῶς ἀνατεινάμενος.

συνεφαπτόμενον] V. locum Caes. supra allatum.

Cap. XVIII. εἰς μέσον προελθὼν κ. τ. λ.] Cic. Phil. II. 12. *Caesare interfecto statim cruentum alte extollens M. Brutus pugionem Ciceronem nominatim exclamavit atque ei recuperatum libertatem est gratulatus.*

ἡ δ' ὑπὸ δέους — τάραχος] Disertius haec consternatio exponitur Caes. 67. Dion. 20. App. 118. quae huc transscribere longum erat.

Ἀντώνιον] M. Antonium, M. Antonii Cretici filium, M. Antonii

ἐλευθερίαν ἀνακαλεῖσθαι. Καὶ τοῖς μὲν ἄλλοις πᾶσιν, ὁπηνίκα διεσκοποῦντο τὴν πρᾶξιν, ἤρεσκεν Ἀντώνιον ἐπισφάττειν Καίσαρι, μοναρχικὸν ἄνδρα καὶ ὑβριστήν, ἰσχύν τε πεποιημένον ὁμιλίᾳ καὶ συνηθείᾳ πρὸς τὸ στρατιωτικόν, καὶ μάλισθ' ὅτι τῷ φύσει σοβαρῷ καὶ μεγαλοπράγμονι προσειλήφει τὸ τῆς ὑπατείας ἀξίωμα τότε Καίσαρι συνάρχων. Ἀλλὰ Βροῦτος ἐνέστη πρὸς τὸ βούλευμα, πρῶτον μὲν ἰσχυριζόμενος τῷ δικαίῳ, δεύτερον δ' ὑποθεὶς ἐλπίδα τῆς μεταβολῆς. Οὐ γὰρ ἀπεγίνωσκεν εὐφυᾶ καὶ φιλότιμον ἄνδρα καὶ δόξης ἐραστὴν τὸν Ἀντώνιον ἐκποδὼν Καίσαρος γενομένου καὶ συνεφάψεσθαι τῇ πατρίδι τῆς ἐλευθερίας, ἐπισπασθέντα τῷ ζήλῳ πρὸς τὸ καλὸν ὑπ' αὐτῶν. Οὕτω μὲν Ἀντώνιον Βροῦτος περιεποίησεν· ἐν δὲ τῷ τότε φόβῳ μεταλαβὼν ἐσθῆτα δημοτικὴν ἔφυγεν. Οἱ δὲ περὶ

oratoris nepotem, non est qui ignoret; collegam Caesaris in consulatu tum fuisse, statim Plutarchus indicat. De consilio impedito eius caedendi per Brutum confer Plut. Anton. 13. Vell. II. 58, 2. Dion. c. 19. App. 114. et quem iam citavimus Cic. ad fam. X. 28. etiam XII. 4. in. Phil. II. 14, 34. — Geterum notes verbum ἐπισφάττειν, optime exhibens secundarium Antonii locum, cuius potentia e Caesare pependerat.

συνηθείᾳ πρὸς τὸ στρατιωτικόν] quam iam in Gallico Caesaris bello contraxerat, magis deinde in bello civili.

ἰσχυριζόμενος τῷ δικαίῳ] Anton. l. l. ἀξιῶν τὴν ὑπὲρ τῶν νόμων καὶ τῶν δικαίων τολμωμένην πρᾶξιν εἰλικρινῆ καὶ καθαρὰν ἀδικίας εἶναι. App. l. l. ὁ Βροῦτος ἔλεγεν ἐπὶ μὲν τῷ Καίσαρι μόνῳ δόξαν οἴσεσθαι τυραννοκτόνων ὡς βασιλέα ἀναιροῦντες, ἐπὶ δὲ τοῖς φίλοις αὐτοῦ ἐχθρῶν ὡς Πομπηΐου στασιῶται.

ὁσον οὔτε τι πράττειν οὔτε τῳ διαλέγεσθαι πάντων ἀναπαυομένων παρεῖχε· τότε δὲ τοῦ πολέμου συνεστῶτος, ἐν χερσὶν ἔχων τὰς ὑπὲρ τῶν ὅλων πράξεις καὶ τεταμένος τῇ φροντίδι πρὸς τὸ μέλλον, ὁπηνίκα πρῶτον ἀφ' ἑσπέρας ἐπινυστάξειε τοῖς σιτίοις, ἤδη τὸ λοιπὸν ἐχρῆτο τῇ νυκτὶ πρὸς τὰ κατεπείγοντα τῶν πραγμάτων· εἰ δὲ συνέλοι καὶ κατοικονομήσειε τὴν περὶ ταῦτα χρείαν, ἀνεγίνωσκε βιβλίον μέχρι τρίτης φυλακῆς, καθ' ἣν εἰώθεσαν ἑκατοντάρχαι καὶ χιλίαρχοι φοιτᾶν πρὸς αὐτόν. Ὡς οὖν ἔμελλεν ἐξ Ἀσίας διαβιβάζειν τὸ στράτευμα, νὺξ μὲν ἦν ἡ βαθυτάτη, φῶς δ' εἶχεν οὐ πάνυ λαμπρὸν ἡ σκηνή, πᾶν δὲ τὸ στρατόπεδον σιωπὴ κατεῖχεν. Ὁ δὲ συλλογιζόμενός τι καὶ σκοπῶν πρὸς ἑαυτόν, ἔδοξεν αἰσθέσθαι τινὸς εἰςιόντος. Ἀποβλέψας

coniectura ἐπεγρήγορος, forma plane inaudita. Caes. l. l. πλεῖστον ἑαυτῷ χρόνον ἐγρηγορότι πεφυκὼς χρῆσθαι.

ὀλίγου] Facile suspiceris ὀλίγον: tempus enim universum dividitur, non tempus iam divisum, quod est ὀλίγος χρόνος.

σωφροσύνη] est moderatio et temperatio omnium motuum qui mentem et rationem impediunt; inde etiam ad corporalia spectat ut somnum. — συνῆγεν] in angustum redegit, coercuit, συνέστελλεν.

οὔτε τῳ] Sic Bryanus emendavit vulg. τῷ: sed verum iam Ald. et Steph. dant: Basil. habet τι. — Notandus autem infinitivus sine articulo, quem Coraës forsan addiderit. Minus offendit Pomp. 77. ὡς δ' οὖν ἐνίκα φεύγειν εἰς τὸν Αἴγυπτον.

ἐπινυστάξειε — συνέλοι — κατοικονομήσειε] Aoristus enuntiationis secundariae (sicut participii) rem significat tunc absolutam quum fieret actio eius verbi a quo illa pendet; quae vis temporis h. l. urgenda est: postquam — somno indulserat, somno iam excusso, et sic cet.

τρίτης φυλακῆς] Ultimam Graeco more designat, quum Romanis quatuor essent vigiliae. Mane enim apparebant (ἐφοίτων, v. c. 29.) non modo duces imperatoribus sed etiam clientes patronis et quicunque hoc factitabat. Cf. Martial. IV. 8. (qui locus adhiberi poterat etiam c. 4. μεσημβρίας — ἑσπέρας.)

ἑκατοντάρχαι καὶ χιλίαρχοι] centuriones et tribuni. „Σημείωσαι τὸ ἄστατον τῆς γραφῆς, ἴσως μὲν τῶν γραψάντων, ἴσως δὲ καὶ αὐτοῦ Πλουτάρχου ἀμελείᾳ· τὸ μὲν γὰρ παρὰ τὸ ἑκατοντάρχης, τὸ δὲ παρὰ τὸ χιλίαρχος." Cor. „In librarios quam in Plutarchum culpam conferre malim." Schaef. Si tamen culpa est.

ἡ βαθυτάτη] „Coraës ἡ expunxit. Non opus." Sch.

φῶς οὐ πάνυ λαμπρὸν] Caes. l. l. πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου.

δὲ πρὸς τὴν εἴσοδον ὁρᾷ δεινὴν καὶ ἀλλόκοτον ὄψιν ἐκφύλου σώματος καὶ φοβεροῦ, σιωπῇ παρεστῶτος αὐτῷ. Τολμήσας δ' ἐρέσθαι „Τίς ποτ' ὢν" εἶπεν „ἀνθρώπων ἢ θεῶν ἢ τί βουλόμενος ἥκεις ὡς ἡμᾶς;" Ὑποφθέγγεται δὴ αὐτῷ τὸ φάσμα „Ὁ σός, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους." Καὶ ὁ Βροῦτος οὐ διαταραχθείς „Ὄψομαι" εἶπεν.

XXXVII. Ἀφανισθέντος δ' αὐτοῦ τοὺς παῖδας ἐκάλει· καὶ μήτ' ἀκοῦσαί τινα φωνὴν μήτ' ἰδεῖν ὄψιν φασκόντων, τότε μὲν ἐπηγρύπνησεν, ἅμα δ' ἡμέρᾳ τραπόμενος πρὸς Κάσσιον ἔφραζε τὴν ὄψιν. Ὁ δὲ τοῖς Ἐπικούρου λόγοις χρώμενος, καὶ περὶ τούτων ἔθος ἔχων διαφέρεσθαι πρὸς τὸν Βροῦτον, „Ἡμέτερος οὗτος" εἶπεν „ὦ Βροῦτε, λόγος, ὡς οὐ πάντα πάσχομεν ἀλη-

δεινὴν — φοβεροῦ] ib. ὄψιν φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος καὶ χαλεποῦ τὸ εἶδος. De voc. ἀλλόκοτος Corais ad Heliodorum notam attulit Fabricius, huic loco longiorem: deducit ille a κότος quod aeque atque ὀργή significare ait ἦθος, τρόπον. Ad voc. ἔκφυλος cf. Aesch. Eum. 57. τὸ φῦλον οὐκ ὄπωπα τῆςδ' ὁμιλίας, de Furiis item humanam formam excedentibus. Omnino spectra ipsa magnitudine non esse se terrestria monstrare veteribus creditum, quod vel ex Herodoti narrationibus notum est: cf. ex. gr. VI. 117. VII. 12. et al.

σιωπῇ — τολμήσας] l. l. ἐκπλαγεὶς τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι μήτε φθεγγόμενον ἀλλ' ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα ὅςτις ἐστίν. — ὡς] v. ad c. 23.

ὑποφθέγγεται] Sol. e codd. V. et An. suasit, recepit Reiske e Iunt. Vulg. ὑποφθέγγεσθαι. — Habes hanc narrationem etiam apud Appian. IV. 134. cf. Flor. IV. 7, 8.

Cap. XXXVII. καὶ μήτ' ἀκοῦσαι] Καὶ R. de suo addidit, ne copula narrationi deesset: secuti sunt Cor. et Sch. Coraës: „Ἴσως ἂν ἄμεινον ἐγράφετο, μήτε δ' ἀκοῦσαι." Καὶ defenderis ut praecedente ἐκάλει absorptum.

ἡμέτερος] Iam Xylander emendavit vulg. ὑμέτερος. Cassium Epicureum fuisse etiam ex Cicerone novimus, qui saepius de hac re cum eo iocatur, et quidem de his ipsis spectris sive εἰδώλοις. Epp. ad fam. XV. 16. cf. 18. 19.

ὑγρὸν] mutabile eoque ipso fallax, cui confidere nequeas. cf. ad c. 29.

ἡ αἴσθησις] Articulum de suo addidit Sch.; e cod. Pal. receperat iam Kunisch.

αὐτό] „τὸ αἰσθητόν." Schaef. Accuratius dixeris, τοῦτο τὸ χρῆμα, τὸ ὑγρὸν καὶ ἀπατηλόν, δηλονότι τὴν αἴσθησιν. Similiter explicat Bredovius.

κηρῷ — ἡ τύπωσις] Κηρῷ breviter dictum pro κηροῦ τυπώσει. Cod. An. pro ἔοικεν dat ἔξωθεν, quod Bred. nisi Plutarcho tribuendum

θῶς οὐδ' ὁρῶμεν, ἀλλ' ὑγρὸν μέν τι χρῆμα καὶ ἀπατηλὸν ἡ αἴσθησις, ἔτι δ' ὀξυτέρα ἡ διάνοια κινεῖν αὐτὸ καὶ μεταβάλλειν ἀπ' οὐδενὸς ὑπάρχοντος ἐπὶ πᾶσαν ἰδέαν. Κηρῷ μὲν γὰρ ἔοικεν ἡ τύπωσις· ψυχῇ δ' ἀνθρώπου, τὸ πλαττόμενον καὶ τὸ πλάττον ἐχούσῃ τὸ αὐτό, ῥᾷστα ποικίλλειν αὐτὴν καὶ σχηματίζειν δι' ἑαυτῆς ὑπάρχει. Δηλοῦσι δ' αἱ κατὰ τοὺς ὕπνους τροπαὶ τῶν ὀνείρων, ἃς τρέπεται τὸ φανταστικόν, ἐξ ἀρχῆς βραχείας παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα γινόμενον. Κινεῖσθαι δ' ἀεὶ πέφυκεν, κίνησις δ' αὐτῷ φαντασία τις καὶ νόησις. Σοὶ δὲ καὶ τὸ σῶμα ταλαιπωρούμενον φύσει τὴν διάνοιαν αἰωρεῖ καὶ παρατρέπει. Δαίμονας δ' οὔτ' εἶναι πιθανὸν οὔτ' ὄντας ἀνθρώπων ἔχειν εἶδος ἢ φωνήν, ἢ δύναμιν εἰς ἡμᾶς διηκουσαν· ὡς

sit, explicando saltem inservire censet: ideoque τύπωσιν interpretatur rerum externarum in mente nostra imaginem. Est vero omnino adumbratio rerum sive idearum quae fit ἐν τῇ αἰσθήσει, tam externarum quam intus ortarum; ad has vero solas sequentia spectant.

αὐτὴν] τὴν τύπωσιν. Ita iam explicavit Bredovius, atque nunc etiam Schaeferus, quo simul reiicit lectionem (suam, Cor. Fabr. et Reiskii) αὐτήν, quae caret omni codd. vel edd. priorum auctoritate. Ceterum locum recte distinguendo (commate post, non ante τὸ αὐτὸ posito) iam Bred. explanavit, in quo item cod. Palatinum se secutum ait Kunisch. Similiter infra, ubi vulgo verba ἐξ ἀρχῆς βραχείας commate post se posito prioribus adiungebantur.

γινόμενον] Ita cod. An. recepitque Cor. et Schaeferus, ille quidem dubitans, hic explicat εἰς παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα μεθιστάμενον: neque quid huic interpretationi obstet video. Vulg. erat γινομένων, quod Fabr. defendit ut referendum ad ὀνείρων: sed recte Bred. arguit tum πάθη et εἴδωλα genit. casu ponenda fuisse. Solanus coniecerat γεννώμενον: sed activum exspectares: Reiskii ἐπινεμόμενον vel ἐπὶ παντ. — κινούμενον, et Corais ἐπὶ π. — φερόμενον retulisse satis erit.

κινεῖσθαι — νόησις] διὸ — haec est omissa syllogismi conclusio — καὶ ἀεὶ φαντασίας τινὰς καὶ νοήσεις γεννᾶν (τυποῦν) πέφυκε τὸ φανταστικόν. Cor. pro αὐτῷ maluit αὐτοῦ; sed dativus optime se habet: in eo, *bei ihm*, *für dasselbe*. Kun. e cod. Pal. pro καὶ recepit ἢ.

φύσει] Lat.: „sponte naturae." Malim: necessitate naturae. Significat enim naturae vim, qua corporis affectio animi motus excitat vel contra huius voluntatem, etiam si ille per se quiesceret ac sibi constaret.

ὡς — ἐβουλόμην] Male Bred. „*wie ich es wohl wünschen möchte.*" Ὡς h. l. idem est quod γάρ, suppleturque, quod saepissime fit in illa particula, sententia praecedens, v. c. „neque id dico quod res mihi displiceat, vel sim.: nam pervellem." — Obiectum recte supplet

ἔγωγ' ἂν ἐβουλόμην, ἵνα μὴ μόνον ὅπλοις καὶ ἵπποις καὶ ναυσὶ τοσαύταις, ἀλλὰ καὶ θεῶν ἀρωγαῖς ἐπεθαῤῥοῦμεν, ὁσιωτάτων ἔργων καὶ καλλίστων ἡγεμόνες ὄντες." Τοιούτοις μὲν ὁ Κάσσιος ἐπραΰνε λόγοις τὸν Βροῦτον. Ἐκβαινόντων δὲ τῶν στρατιωτῶν, ἐπὶ τὰς πρώτας σημαίας ἀετοὶ δύο συγκατασκήψαντες ὁμοῦ συνδιεκομίζοντο καὶ παρηκολούθουν ὑπὸ τῶν στρατιωτῶν τρεφόμενοι μέχρι Φιλίππων· ἐκεῖ δ' ἡμέρᾳ μιᾷ πρὸ τῆς μάχης ᾤχοντο ἀποπτάμενοι.

XXXVIII. Τὰ μὲν οὖν πλεῖστα τῶν ἐν ποσὶν ἐθνῶν ἐτύγχανεν ὁ Βροῦτος ὑπήκοα πεποιημένος· εἰ δέ τις ἢ πόλις ἢ δυνάστης παρεῖτο, τότε πάντας προσαγόμενοι, μέχρι τῆς κατὰ Θάσον θαλάσσης προῆλθον. Ἐκεῖ δὲ τῶν περὶ Νορβανὸν ἐν τοῖς Στενοῖς λεγομένοις καὶ περὶ

Coraës, δαίμονας εἶναι, minus bene Reiske, θεῶν εἶδος ἢ φωνὴν ἢ δύναμιν ἄλλην εἰς ἡμᾶς διήκειν.

ἵνα ἐπεθαῤῥοῦμεν] „Resolvas: nam si essent, fideremus non solum —. Haec ratio est cur ἵνα iunctum sit imperfecto." Schaef. Nota haec constructio ex Hermanni explicatione ad Vig. p. 851. Cf. Matth. §. 519. p. 997.

ἐκβαινόντων] quum milites, quos ex Abydo in Europam transituros fuisse iam cap. 36. dixit, Hellesponto traiecto ad Sestum egrederentur e navibus. Sic iam Bred. exposuit contra Reiskii coni. ἐμβαινόντων, „*inscendentibus in naves militibus*, quibus navibus essent ex Asia in Macedoniam transvehendi." Quod etiam Fabr. et Cor. neglexerunt, sed Sch. illos mirans recepit, neque defensione opus esse censuit. Mihi contra si quaequam temeraria haec videtur mutatio. Quod enim momentum erat inscendendi? At summum egrediendi, quum terram sibi fatalem primum attingerent; ut vel si aves illae inscendentibus advenissent, dici debuisset, nec egredientes reliquisse. Etiam Appianus, qui IV. 101. harum aquilarum meminit, nonnisi post traiectum mare eas commemorat.

Φιλίππων] in orientali Macedoniae parte, propinqua sinui Strymonico Thraciaeque confinibus. Strab. exc. l. VII. 17. p. 731. — Iter Bruti et Cassii exponunt App. c. 87. 88. 101 — 104. Dio c. 35. Proxima via a Norbano et Saxa praeclusa longo et difficili itinere per Thraciam illos circumibant et paene inclusis ad Philippos supervenerunt. Sed vide cap. seq.

Cap. XXXVIII. Θάσον] insula in septentrionali sinus Strymonici parte, opposita Thraciae et Macedoniae confinibus.

Νορβανὸν] C. Norbanus Flaccus, Antonii legatus, qui postea a. 716. consul factus est. Cum eo fuisse Decidium Saxam iam ad c. 36. annotatum est.

ἐν τοῖς Στενοῖς — περὶ τὸ Σύμβολον] Inter montes Pangaeum Symbolum vallis est, τὰ Στενά, in illa vero collis: huic impo-

τὸ Σύμβολον στρατοπεδευόντων, περιελθόντες αὐτοὺς ἠνάγκασαν ἀποστῆναι καὶ προέσθαι τὰ χωρία. Μικροῦ δὲ καὶ τὴν δύναμιν αὐτῶν λαβεῖν ἐδέησαν, ὑπολιπομένου διὰ νόσον Καίσαρος, εἰ μὴ προσεβοήθησεν Ἀντώνιος ὀξύτητι θαυμαστῇ χρησάμενος, ὥςτ' ἀπιστεῖν τοὺς περὶ Βροῦτον. Ἦλθε δὲ Καῖσαρ ὕστερον ἡμέρας δέκα, καὶ κατεστρατοπέδευσεν ἐναντίον Βρούτου, Κασσίου δ' Ἀντώνιος. Τὰ δ' ἐν μέσῳ τῶν στρατοπέδων πεδία Ῥωμαῖοι κάμπους Φιλίππους καλοῦσι· καὶ μέγισται τότε Ῥωμαίων δυνάμεις ἀλλήλαις συνεφέροντο. Πλήθει μὲν οὖν οὐ παρ' ὀλίγον ἐλείποντο τῶν περὶ Καίσαρα, κόσμῳ δὲ ὅπλων καὶ λαμπρότητι θαυμαστὸν ἐξεφάνη τὸ Βρούτου στράτευμα. Χρυσὸς γὰρ ἦν αὐτοῖς τὰ πλεῖστα τῶν ὅπλων, καὶ ἄργυρος

situm oppidum Philippi, cui antiquitus nomen Crenides. Locum accurate descripsit App. 105 s. Adiri potest etiam Freinshem. suppl. Liv. CXXIII. 31.

ὑπολιπομένου — Καίσαρος] Dyrrhachii eum remansisse App. 106. Dio 37. testantur, qui omnino haec distinctius exponunt quam Plutarchus, cui *τὰ ἠθικά* magis curae sunt quam externa et proprie historica. Brutus substitit ubi adventum Antonii comperit: hic Amphipoli, quam Norbanus muniverat, unam legionem reliquit. — De traiectu Caesaris et Antonii v. Dion. 36 s. App. 82. 86.

ὀξύτητι θαυμαστῇ χρ.] Similiter App. 107. *μάλα θρασέως πολὺ προελθών.* Alia habet Dio c. 37.

ἡμέρας] Cor. dedit *ἡμέραις*, allato c. 35. *ὀλίγαις ἡμέραις ἔμπροσθεν*: secutus est Schaeferus. Sed recte etiam accusativum se habere, qui temporis spatium metiatur, vix ipsi negaverint. Ita in Xen. Hell. II. 14, 3. recte e codd. receptum est *πέμπτην ἡμέραν*, quod, in numero ordinali, difficilius etiam nostro videri potest. Cf. Matth. §. 425. b. c. d.

ἐναντίον — Ἀντώνιος] Sic Reiske vere locum restituisse videtur. Vulg. pessime. *Ἀντώνιον Βροῦτος, Κάσσιον δὲ Ἀντώνιος.* Cod. Vulc. dederat *Ἀντωνίου Βροῦτος, Κασσίου δ' Ἀντώνιος*, An. *αὐτοῦ μὲν Κασσίου.* Lucidius haec distincta Anton. 22. *παρεστρατοπέδευσαν τοῖς πολεμίοις, Ἀντωνίου μὲν ἐπιτεταγμένου Κασσίῳ, Βρούτῳ δὲ Καίσαρος.* — Castrorum situm, Bruto et Cassio multo quam hostibus oportuniorem, App. et Dio II. II. describunt. Uterque in singulari colle sua castra habebat, muris defensa ab Antonio praesertim, qui audacia et necessitate pariter actus proxime Cassio accesserat.

πλήθει κ. τ. λ.] Contra App. 108. tradit utrisque fuisse novendecim legiones, Bruto quidem iusto numero carentes, Caesari illo maiores, equitum vero triumviros habuisse tredecim millia, alteros viginti. Cf. c. 88.

ἀφειδῶς καταχορηγηθείς, καίπερ εἰς τἄλλα τοῦ Βρούτου σώφρονι διαίτῃ καὶ κεκολασμένῃ χρῆσθαι τοὺς ἡγεμόνας ἐθίζοντος. Τὸν δ' ἐν χερσὶ καὶ περὶ τὸ σῶμα πλοῦτον ᾤετό τι καὶ φρονήματος παρέχειν τοῖς φιλοτιμοτέροις, τοὺς δὲ φιλοκερδεῖς καὶ μαχιμωτέρους ποιεῖν, ὥςπερ κτημάτων τῶν ὅπλων περιεχομένους.

XXXIX. Οἱ μὲν οὖν περὶ Καίσαρα, καθαρμὸν ἐν τῷ χάρακι ποιησάμενοι, μικρόν τι σίτου καὶ δραχμὰς κατ' ἄνδρα πέντε διένειμαν εἰς θυσίαν, οἱ δὲ περὶ Βροῦτον, καταγνόντες αὐτῶν τῆς ἀπορίας ἢ μικρολογίας, πρῶτον μὲν ἐν ὑπαίθρῳ τὸν στρατὸν, ὥςπερ ἔθος ἐστίν, ἐκάθηραν, ἔπειθ' ἱερείων πλήθη κατὰ λόχους, καὶ δραχμὰς ἑκάστῳ πεντήκοντα διαδόντες, εὐνοίᾳ καὶ προθυμίᾳ τῆς δυνάμεως πλέον εἶχον. Οὐ μὴν ἀλλὰ σημεῖον ἐν τῷ καθαρμῷ μοχθηρὸν ἔδοξε Κασσίῳ γενέσθαι· τὸν γὰρ στέφανον αὐτῷ κατεστραμμένον ὁ ῥαβδοῦχος προςήνεγκε. Λέγεται δὲ καὶ πρότερον ἐν θέᾳ

κτημάτων] Solani est emendatio e cod. An. Vulg. κτήματα.

Cap. XXXIX. καθαρμὸν] lustrum, sacrificium et purgando exercitui et precandae victoriae ante quodque proelium institutum.

δραχμὰς πέντε] quae summa, nostri argenti duo florenos non plane conficiens, luxuriosis illis temporibus perparva videbatur. Πεντήκοντα septendecim florenos vix excedunt.

μικρολογίας] „Optime reddideris *sordes*. Hoc enim est μικρολογία. Verbo μικρολογεῖσθαι eadem notione utitur Plutarch. Alex. 25. fin. Non multum dissimile est μικροπρέπεια Sol. 27. et μικροπρεπής Nic. 1." Fabr. — Καταγνῶναι Latinus bene *contemnere* vertit, magis proprie dicas *reprehendere*, malum agnoscere itaque improbare.

ἐν ὑπαίθρῳ] „Opponitur ἐν τῷ χάρακι." Sch. In aperto, extra vallum, „in campo" ut ait Lat. interpres. Id ipsum timoris indicium in hostibus videbatur, quod in apertum prodire non auderent.

δύναμις] simpliciter *exercitus*. Pomp. 16. εἴτε παραδοὺς τὴν δύναμιν αὐτός, εἴτε προδοθεὶς μεταβαλλομένης ἐκείνης. Similiter sed cum ducis oppositione c. 38. et 41. Cf. c. 45.

κατεστραμμένον] inversum, ut folia deorsum euntia capiti incumberent. App. 134. ἀνεστραμμένον. Dio 40. τραπέντα πάλιν. Etiam sequentia portenta cum aliis referunt iidem, multo intentiores Plutarcho ad talia a vera historia aeque ac philosophia aliena. Adde Iulium Obseq. c. 130. fin.

Κασσίου] quam ille dedicaverat. App. l. l. ἀνάθημα Κασσίου. Eiusmodi rebus dedicatis quae accidebant praesagia malorum dedicantibus imminentium habita esse et rei natura et historia docet. Afferam unum exemplum Ciceronis, ad fam. XII. 25. in. coll. de leg. II. 17, 42. Dion. XLV. 17. XXXVIII. 17.

τινὶ καὶ πομπῇ χρυσῆν Κασσίου νίκην διαφερομένην πεσεῖν ὀλισθόντος τοῦ φέροντος. Ἔτι δ' ὄρνεά τε σαρκοφάγα πολλὰ καθ' ἡμέραν ἐπεφαίνετο τῷ στρατοπέδῳ, καὶ μελισσῶν ὤφθησαν ἐσμοὶ συνιστάμενοι περὶ τόπον τινὰ τοῦ χάρακος ἐντός, ὃν ἐξέκλεισαν οἱ μάντεις ἀφοσιούμενοι τὴν δεισιδαιμονίαν, ἀτρέμα καὶ τὸν Κάσσιον αὐτὸν ὑποφέρουσαν ἐκ τῶν Ἐπικούρου λόγων, τοὺς δὲ στρατιώτας παντάπασι δεδουλωμένην. Ὅθεν οὐδ' ἦν πρόθυμος διὰ μάχης ἐν τῷ παρόντι γενέσθαι τὴν κρίσιν, ἀλλὰ τρίβειν ἠξίου χρόνῳ τὸν πόλεμον ἐῤῥωμένους χρήμασιν, ὅπλων δὲ καὶ σωμάτων πλήθει λειπομένους. Βροῦτος δὲ καὶ πρότερον ἔσπευδε, τῷ ταχίστῳ τῶν κινδύνων διακριθείς, ἢ τῇ πατρίδι τὴν ἐλευθερίαν ἀναλαβεῖν, ἢ πάντας ἀνθρώπους ἐνοχλουμένους δαπάναις καὶ στρατείαις καὶ πράγμασιν ἀπαλλάξαι κακῶν, καὶ τότε τοὺς περὶ αὐτὸν ἱππεῖς ὁρῶν ἐν τοῖς προαγῶσι καὶ ταῖς ἀψιμαχίαις εὐημεροῦντας καὶ κρατοῦντας

μελισσῶν ἐσμοὶ] „V. cap. 48. Eadem Graecorum fuit superstitio. V. Dion. 24." Schaef. Ibi haec legimus: *τὸ τῶν μελισσῶν, αἱ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἐσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἔφραζε (ὁ μάντις) δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσιν.* Quibus Schaef. annotat: „*ἐσμὸν λαμβάνουσαι, καθίζουσαι.*" et: „*ἐσμός* i. q. *ἕδρα*, ut praestet scribi *ἑσμός*. Hinc *ἐσμός* (*ἑσμός*) dicitur examen apum alicubi confertim sidens. V. Acta Philolog. Monac. I. 3. p. 389." Adde Hermann. Opuscc. II. p. 256. Ad nostrum locum Fabr. laudat Plin. Hist. Nat. XI. 17. (18.) *Tunc ostenta faciunt privata ac publica, uva dependente in domibus templisve, saepe expiata magnis eventibus.* Adde Iuvenal. XIII. 68. *Sollicitus tanquam lapides effuderit imber, Examenque apium longa consederit uva Culmine delubri.*

ἐξέκλεισαν] „*ἐχώρισαν τοῦ λοιποῦ στρατοπέδου.*" Cor. Ita enim prodigium non iam ad se pertinere putabant vel volebant. — *ἀφοσιούμενοι*] ista tribuentes, persolventes religioni, non spernentes eam sed agnoscentes eoque ipso metum quem illa excitavit levantes. — In verbo *ὑποφέρουσαν* nota lenti atque ipsum quasi latentis motus significationem.

ἐῤῥωμένους χρήμασιν] Cfr. App. c. 108. — *πλήθει λειπομένους*] V. ad c. 39.

πράγμασιν] Vulc. et An. *προστάγμασιν*, quod Cor. et Schaef. probant, neque facile quis improbaverit.

προαγῶσι] Cor. correxit vulg. *προάγωσι*, quod Sch. indicavit, sed nescio cur non secutus est. — *διαβολαὶ*] sc. *αὐτομολίας*.

ἐξῆρτο τὸ φρόνημα· καί τινες αὐτομολίαι γενόμεναι πρὸς τοὺς πολεμίους καὶ διαβολαὶ καθ' ἑτέρων καὶ ὑπόνοιαι πολλοὺς τῶν Κασσίου φίλων μετέστησαν ἐν τῷ συνεδρίῳ πρὸς Βροῦτον. Εἷς δὲ τῶν Βρούτου φίλων Ἀτέλλιος ἠναντιοῦτο, τόν γε χειμῶνα περιμεῖναι κελεύων. Ἐρομένου δὲ τοῦ Βρούτου, τίνι βελτίων ἔσεσθαι νομίζει μετ' ἐνιαυτόν, „Εἰ μηδὲν" εἶπεν „ἄλλο, πλείω βιώσομαι χρόνον." Πρὸς τοῦτο Κάσσιος ἐδυσχέρανε, καὶ τοῖς ἄλλοις προςέκρουσεν οὐ μετρίως ὁ Ἀτέλλιος. Ἐδέδοκτο δὴ μάχεσθαι τῇ ὑστεραίᾳ.

XL. Καὶ Βροῦτος μὲν ἐν ἐλπίσι καλαῖς καὶ λογισμοῖς φιλοσόφοις γενόμενος παρὰ τὸ δεῖπνον ἀνεπαύετο· Κάσσιον δὲ Μεσσάλας φησὶ δειπνεῖν τε καθ' ἑαυτόν,

Ἀτέλλιος] Romanis est *Atilius*, quod Coraës hic malit, sed non necessarium arbitror. Hominem non novimus.

τόν γε χειμῶνα] Ita Reiske e Iunt. τόν τε. Vulgo τὸν χειμῶνα.

πλείω] cum Vulc. et An. iam Solanus scribi iussit. Reiske voluit πλείονα. Idem cogitavit de inserendo δὲ post τοῖς ἄλλοις: *sed etiam reliquos offendit.* Quod non malum, nec tamen opus.

Cap. XL. Μεσσάλας] Fuit hic M. Valerius Corvinus Messala, genere pariter ac doctrina, praecipue oratoria arte (cf. Meieri Frr. Orr. Romn. p. 208 ss.), nobilis, de quo iterum cap. 53. Post Bruti mortem primum Antonio, hoc vero magis insaniente Caesari se addixit, quocum consul factus est a. 723. Augusto deinde inter familiares erat summaque vigebat auctoritate. Notus est etiam Tibulli poëtae patronus. Cf. etiam Spalding. ad Quintil. Instt. I. 5, 15. — Commentarios historicos eum composuisse, quod etiam Suidas refert, e nostro apparet. Cf. c. 42.

ὥςπερ εἰώθει φιλοφρονούμενος] „Referendum ad Ἑλληνικῇ φωνῇ." Sch. Qua saepius Romanos in sermone familiari usos esse et Ciceronis epistolae et historicorum relata monstrant. V. ex. gr. Plut. Pomp. 60. Caes. 67. Suet. Caes. 82.

ταὐτὰ — πάσχειν] Ita Bry. e codd. V. et An. (et *sua* Aldina.) Vulg. ταῦτα παρασχεῖν. De qua emendatione immerito dubitasse videtur Bredovius. Fabricius explicat locutionem πάσχειν τινὶ ταὐτό „quae proprie ita solvenda est: πάσχειν ταὐτὸ τῷ τινός" laudans exempla apud Schaefer. in Mell. critt. p. 57. ad Lamb. Bosii Ell. p. 3. ad Plin. epp. p. 40. — Ceterum simile dictum Appianus c. 124. Bruto tribuit quum ille invitus secundum proelium iniret.

ἀναῤῥῖψαι] Schaeferus correxit vulg. ἀναῤῥίψαι.

ἔχωμεν] Corais est coniectura pro ἔχομεν, quam, etsi gratam magis quam necessariam visam, reiicere noluimus in Plutarcho quem hodie adhuc illae sibi vindicant paene totum. Accedit quod statim Reg. dant βουλευσόμεθα. — Bredovius bonum hunc animum convenire aestimans statuit hoc esse Messalae responsum;

ὑποχωρεῖν τῷ δαίμονι καὶ μὴ δέχεσθαι τὸ συμπῖπτον ἀδεῶς ἀλλ' ἀποδιδράσκειν. Νυνὶ δ' ἀλλοῖος ἐν ταῖς τύχαις γίνομαι, καὶ θεοῦ καλῶς τὰ παρόντα μὴ βραβεύσαντος οὐ δέομαι πάλιν ἄλλας ἐλπίδας ἐξελίγχειν καὶ παρασκευάς, ἀλλ' ἀπαλλάξομαι τὴν τύχην ἐπαινῶν· Μαρτίαις εἰδοῖς δοὺς τῇ πατρίδι τὸν ἐμαυτοῦ βίον, ἄλλον ἔζησα δι' ἐκείνην ἐλεύθερον καὶ ἔνδοξον." Ἐπὶ τούτοις Κάσσιος ἐμειδίασε καὶ τὸν Βροῦτον ἀσπασάμενος „Ταῦτα" ἔφη „φρονοῦντες ἴωμεν ἐπὶ τοὺς πολεμίους· ἢ γὰρ νικήσομεν ἢ νικῶντας οὐ φοβηθησόμεθα." Μετὰ ταῦτα περὶ τάξεως αὐτοῖς λόγος ἐγέ-

παραιτοῦνται καὶ τοῖς ἄλλοις ὡς μέγα τι κακὸν ἀποτρέπεσθαι παραινοῦσιν, οἷόν ἐστι τὸ πρὸς Κέβητα ὑπὸ Σωκράτους λεγόμενον ἐν τῷ Πλάτωνος Φαίδωνι (σελ. 95.) „Ὦ 'γαθέ, μὴ μεγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι." Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων δῆλον ὅτι καὶ Βροῦτος διὰ τοῦ Λόγον ἀφῆκα μέγαν τοιοῦτόν τι βούλεται λέγειν, Κατηλαζονευσάμην πάλαι, ὑπὸ φιλοσοφίας προαχθείς, τῆς Κάτωνος αὐτοχειρίας, ὡς πράξεως ἀλλοτρίας φιλοσοφοῦντος ἀνδρός, καὶ ὑπερηφάνως ἐπεκόμπασα τὸ Οὐκ ἂν ἔγωγε τοιοῦτόν τι ἐμαυτὸν δράσαιμι· ἀλλὰ νῦν, διὰ τὸν μέγαν τοῦτον λόγον, ἐν παραπλησίαις ταῖς Κάτωνος συμφοραῖς ἐξεταζόμενος, οἷον ὑπὸ θείας νεμέσεως εἰς τὸ καὶ τὴν αὐτὴν ἐκείνῳ τοῦ βίου τελευτὴν ποιήσασθαι συνωθοῦμαι." — Schaef. his laudatis addit Heindorf. ad Plat. Hipp. mai. p. 160.

ὡς οὐχ ὅσιον κ. τ. λ.] „Plane πλατωνικῶς." Schaef. Vide Phaedon. c. 5. 6. p. 61. c — 62. c. ubi iam Pythagoreos ita sensisse e Cic. de sen. c. 20. et Boeckhii libro de Philolao docuit Stallbaum. Similia habet Cicero Tusc. I. 30, 74. Somn. Scip. 3, 15.

ἔργον] Cor. addidit ὄν, quod Reiske post ὅσιον desideraverat; Sch. secutus est. Idem fecerunt Caes. 28. ubi peior etiam sonus excitatus est, ὡς οὐ χαλεπὸν ἔργον ὄν, ὃν κ. τ. λ. Correctionem optime iam removit Heindorf. ad Plat. Protag. p. 514. quem etiam laudavit Matth. §. 568. 3. nota.

μὴ βραβεύσαντος] Βραβεύειν hic est „regere, gubernare, administrare" ut Fabr. explicat, docta sed nimis recondita afferens. De neg. μή v. Herm. ad Vig. p. 805.

Μαρτίαις εἰδοῖς κ. τ. λ.] Reiske de suo ὅτι Μαρτ. sicque Cor. et Sch. Eodem iure supra recepissent quod idem voluerat ἠτιασάμην γάρ. Multo et fortior fit et vividior oratio si haec omittuntur quae sensu supplere nemo non potest. Ceterum nostro loco si quis particula egere omnino nolit, aptius opinor proferat ὡς, quod minus languidum videatur et facilius ab antecedente ἐπαινῶν absorberi potuerit.

ἄλλον] Bry. pro ἀλλ' ὄν emendavit cum cod. An. et Ald. (sua scilicet: nostra enim vulgatum habet. v. praef.)

Κασσίου σύμβολον ἀγῶνος φοινικοῦς χιτών, αὐτοὶ δὲ συνῆλθον εἰς τὸ μέσον τῶν στρατοπέδων καὶ λέγει Κάσσιος· „Εἴη μέν, ὦ Βροῦτε, νικᾶν καὶ συνεῖναι τὸν πάντα χρόνον ἀλλήλοις εὖ πράξαντας· ἐπεὶ δὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων ἀδηλότατα, καὶ τῆς μάχης παρὰ γνώμην κριθείσης οὐ ῥᾴδιον αὖθις ἀλλήλους ἰδεῖν, τί γινώσκεις περὶ φυγῆς καὶ τελευτῆς;" Καὶ ὁ Βροῦτος ἀπεκρίνατο· „Νέος ὢν ἐγώ, Κάσσιε, καὶ πραγμάτων ἄπειρος οὐκ οἶδ' ὅπως ἐν φιλοσοφίᾳ λόγον ἀφῆκα μέγαν. Ἠτιασάμην Κάτωνα διαχρησάμενον ἑαυτόν, ὡς οὐχ ὅσιον οὐδ' ἀνδρὸς ἔργον,

τῶν ἀνθρωπίνων] Cor. et Sch. addunt πραγμάτων e cod. Vulc. Sed multo fortius et elegantius solum adiectivum videtur.

λόγον ἀφῆκα μέγαν] „Magnam, superbam, temerariam vocem emisi, mihi excidere passus sum." Primus huius loci sensum percepit Coraës, cuius suavem doctrinam ut uno saltem exemplo cognoscant iuvenes, partem eorum quae h. l. annotavit afferre liceat maiorem. „Οὐδέν, ὡς εἰπεῖν, οὕτω τετριμμένον, οὐδὲ γνωστὸν ἐν τῇ καθ' ἡμᾶς ἐστι γλώσσῃ, ὡς τὰ Μεγάλα λόγια ἐπὶ τῶν ὑπερηφάνων λόγων, καὶ τὸ Λαλῶ ἢ ὁμιλῶ μεγάλα ἐπὶ τοῦ Μεγαλαυχῶ. Πεπίστευται δ' ἔτι κοινῶς παρ' ἡμῖν, ὅτι καὶ τὰ μεγάλα ταῦτα ῥήματα κακόν τι μέγα τοῖς μεγαλαυχοῦσιν ἐπάγει, θείας τινὸς νεμέσεως ἐπισκηπτούσης αὐτοῖς, καὶ εἰς τὰ ἐναντία οἷς ἐπαίρονται καὶ μεγαλορρημονοῦσι περιτρεπούσης. Διὸ καὶ πολλάκις ἢ αὐτοὶ ἑαυτοῖς, ἢ ἑτέροις, εἰωνεῖ τὴν παρὰ θεοῦ τιμωρίαν ἀποτρεπόμενοι, Μὴ λαλεῖν μεγάλα, ἤ, Μὴ μέγαν λόγον λέγειν, παρακελευόμεθα. Ἐνίοτε δὲ καὶ τὰς προσπιπτούσας συμφοράς, μεμνημένοι τῶν πρότερον εἰρημένων μεγάλων λόγων, καὶ γνωσιμαχοῦντες, δι' ἐκείνους ἡμῖν προσπεσεῖν ἐξομολογούμεθα. Ἀμέλει ταὐτὸ τοῦτο καὶ ἐλέγετο καὶ ἐπιστεύετο παρὰ τοῖς ἀρχαίοις, ὡς ἐκ μυρίων ὅσων ἔστι πιστώσασθαι παραδειγμάτων. Αὐτίκα Θέογνις (στίχ. 161.) παραινῶν τῷ φίλῳ Κύρνῳ φησίν· „Μήποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς Ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ." Μετ' ἐκεῖνον Εὐριπίδης (Ἡρακλ. μαινομέν. 1235. ἐκδ. Ἑρμάνν. 1244.) „Ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς," ὃ καλῶς ἐνόησε καὶ ἀκριβῶς ἐξηγήσατο ὁ Βαρνέσιος ἐν τοῖς εἰς τὸν Εὐριπίδην (Ῥήσ. 342.) ὑπομνήμασι, παραθέμενος ἐκ Σοφοκλέους μαρτύρια, οἷς ἔστι προσθεῖναι καὶ τοῦτο (Σοφοκλ. Ἀντιγόν. 1350. (τέλει))· „— Μεγάλοι δὲ λόγοι, Μεγάλας πληγὰς τῶν ὑπεραύχων Ἀποτίσαντες, Γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν." Καὶ ὁ παρὰ τῷ Κωμικῷ δὲ (Βατρ. 835.) Διόνυσος πρὸς τὸν Εὐριπίδην, Αἰσχύλου κατεπαιρόμενον, λέγει παραινῶν· „Ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε." Οὐ μόνον δὲ παρὰ ποιηταῖς εὑρεῖν ἔστι τὰ τοιαῦτα, ἀλλὰ καὶ λογογράφοι τὸ μεγάλα λέγειν αὐτοί τε

ὑποχωρεῖν τῷ δαίμονι καὶ μὴ δέχεσθαι τὸ συμπῖπτον ἀδεῶς ἀλλ' ἀποδιδράσκειν. Νυνὶ δ' ἀλλοῖος ἐν ταῖς τύχαις γίνομαι, καὶ θεοῦ καλῶς τὰ παρόντα μὴ βραβεύσαντος οὐ δέομαι πάλιν ἄλλας ἐλπίδας ἐξελέγχειν καὶ παρασκευάς, ἀλλ' ἀπαλλάξομαι τὴν τύχην ἐπαινῶν· Μαρτίαις εἰδοῖς δοὺς τῇ πατρίδι τὸν ἐμαυτοῦ βίον, ἄλλον ἔζησα δι' ἐκείνην ἐλεύθερον καὶ ἔνδοξον." Ἐπὶ τούτοις Κάσσιος ἐμειδίασε καὶ τὸν Βροῦτον ἀσπασάμενος „Ταῦτα" ἔφη „φρονοῦντες ἴωμεν ἐπὶ τοὺς πολεμίους· ἢ γὰρ νικήσομεν ἢ νικῶντας οὐ φοβηθησόμεθα." Μετὰ ταῦτα περὶ τάξεως αὐτοῖς λόγος ἐγέ-

παραιτοῦνται καὶ τοῖς ἄλλοις ὡς μέγα τι κακὸν ἀποτρέπεσθαι παραινοῦσιν, οἷόν ἐστι τὸ πρὸς Κέβητα ὑπὸ Σωκράτους λεγόμενον ἐν τῷ Πλάτωνος Φαίδωνι (σελ. 95.) „Ὦ γαθέ, μὴ μεγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι." Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων δῆλον ὅτι καὶ Βροῦτος διὰ τοῦ Λόγον ἀφῆκα μέγαν τοιοῦτόν τι βούλεται λέγειν, Κατηλαζονευσάμην πάλαι, ὑπὸ φιλοσοφίας προαχθείς, τῆς Κάτωνος αὐτοχειρίας, ὡς πράξεως ἀλλοτρίας φιλοσοφοῦντος ἀνδρός, καὶ ὑπερηφάνως ἐπεκόμπασα τὸ Οὐκ ἂν ἔγωγε τοιοῦτόν τι ἐμαυτὸν δράσαιμι· ἀλλὰ νῦν, διὰ τὸν μέγαν τοῦτον λόγον, ἐν παραπλησίαις ταῖς Κάτωνος συμφοραῖς ἐξεταζόμενος, οἷον ὑπὸ θείας νεμέσεως εἰς τὸ καὶ τὴν αὐτὴν ἐκείνῳ τοῦ βίου τελευτὴν ποιήσασθαι συνωθοῦμαι." — Schaef. his laudatis addit Heindorf. ad Plat. Hipp. mai. p. 160.

ὡς οὐχ ὅσιον κ. τ. λ.] „Plane πλατωνικῶς." Schaef. Vide Phaedon. c. 5. 6. p. 61. c — 62. c. ubi iam Pythagoreos ita sensisse e Cic. de sen. c. 20. et Boeckhii libro de Philolao docuit Stallbaum. Similia habet Cicero Tusc. I. 30, 74. Somn. Scip. 3, 15.

ἔργον] Cor. addidit ὄν, quod Reiske post ὅσιον desideraverat; Sch. secutus est. Idem fecerunt Caes. 28. ubi peior etiam sonus excitatus est, ὡς οὐ χαλεπὸν ἔργον ὄν, ὄν κ. τ. λ. Correctionem optime iam removit Heindorf. ad Plat. Protag. p. 514. quem etiam laudavit Matth. §. 568. 3. nota.

μὴ βραβεύσαντος] Βραβεύειν hic est „regere, gubernare, administrare" ut Fabr. explicat, docta sed nimis recondita afferens. De neg. μή v. Herm. ad Vig. p. 805.

Μαρτίαις εἰδοῖς κ. τ. λ.] Reiske de suo ὅτι Μαρτ. sicque Cor. et Sch. Eodem iure supra recepissent quod idem voluerat ἠτιασάμην γάρ. Multo et fortior fit et vividior oratio si haec omittuntur quae sensu supplere nemo non potest. Ceterum nostro loco si quis particula egere omnino nolit, aptius opinor proferat ὡς, quod minus languidum videatur et facilius ab antecedente ἐπαινῶν absorberi potuerit.

ἄλλον] Bry. pro ἀλλ' ὄν emendavit cum cod. An. et Ald. (sua scilicet: nostra enim vulgatum habet. v. praef.)

νετο, τῶν φίλων παρόντων. Καὶ Βροῦτος ᾐτεῖτο Κάσσιον αὐτὸς ἡγεῖσθαι τοῦ δεξιοῦ κέρατος, ὃ δι' ἐμπειρίαν καὶ ἡλικίαν μᾶλλον ᾤοντο Κασσίῳ προσήκειν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο Κάσσιος ἔδωκε, καὶ τῶν ταγμάτων τὸ μαχιμώτατον ἔχοντα Μεσσάλαν ἐκέλευσεν ἐπὶ τοῦ δεξιοῦ καταστῆναι. Καὶ Βροῦτος εὐθὺς ἐξῆγε τοὺς ἱππεῖς κεκοσμημένους διαπρεπῶς, καὶ τὸ πεζὸν οὐ σχολαίτερον παρενέβαλλεν.

XLI. Ἔτυχον δ' οἱ περὶ Ἀντώνιον ἀπὸ τῶν ἑλῶν, οἷς περιεστρατοπέδευον, ἐμβάλλοντες τάφρους εἰς τὸ πεδίον, καὶ τὰς ἐπὶ θάλασσαν ὁδοὺς τοῦ Κασσίου περικόπτοντες. Ἐφήδρευε δὲ Καῖσαρ, οὐ παρὼν αὐτὸς δι' ἀσθένειαν, ἀλλ' ἡ δύναμις, οὐ πάνυ μαχεῖσθαι προσδοκῶσα τοὺς πολεμίους, ἀλλὰ μόνον ἐκδρομαῖς χρήσεσθαι πρὸς τὰ ἔργα, καὶ βέλεσιν ἐλαφροῖς καὶ θορύβοις τοὺς ὀρύσσοντας ἐπιταράξειν· καὶ τοῖς ἀντιτεταγμένοις οὐ προσέχοντες ἐθαύμαζον τὴν περὶ τὰς

ᾐτεῖτο] „Cor. de suo dedit ᾔτει τὸν. Non opus." Schaef. Mirum sane, nomen sine articulo statim iteratum non retinuisse virum doctum a corrigendi nimis levi conatu.

τοῦ δεξιοῦ] qui semper maioris momenti et honoris locus habitus. Sic in Pharsalica pugna Caesar et Pompeius uterque dextro suo cornu praefuerunt. Caes. 44. Pomp. 69. Ideo etiam fortissima legio hic collocata, ut in eadem Pharsalica pugna nobilis illa decima Caesaris. v. Pomp. l. l. Caes. de bello civ. III. 89. Sic c. 41. haec legio prima hostes praeterit.

Cap. XLI. περιεστρατοπέδευον] „Coraës de suo dedit παρεστρατοπέδευον. Quod cur praeferamus ignorantes castrorum situm?" Schaef. Neque omnino verbi sensus is est, Antonium castris paludes plane cinxisse, quod sane mirum esset. — Accuratius haec narrat App. 109. 110. Antonium clam per paludem aggerem duxisse itaque in Cassii castra impetum fecisse. Sed in eo a nostro discrepat quod proelium non e consilio Bruti et Cassii initum, sed Bruti milites iratos illa incursione in hostes proruisse ait.

ἐμβάλλοντες] Reiske dedit pro vulg. ἐμβαλόντες, ob insequens περικόπτοντες. Secuti Cor. et Schaefeus.

ἐφήδρευε] non insidiandi sed solo sedendi sensu h. l. dictum: quieti manebant.

ἡ δύναμις] αὐτοῦ, τοῦ Καίσαρος. — ἔργα] sicut Romani *opera* et nostri *Werke* de munitionibus et sim.

ἐπιταράξειν] item Reiske correxit ob similes infinitivos praemissos, loco vulg. ἐπιταράσσειν, secutique sunt posteri editores.

οὐ προσέχοντες] „οἱ ὑπὸ Καίσαρι στρατευόμενοι". Cor. Synesi facillima e δύναμις suppletur στρατιῶται.

τάφρους κραυγὴν ἄσημον οὖσαν καὶ πολλὴν προσφερομένην. Ἐν τούτῳ γραμματείων τε παρὰ Βρούτου τοῖς ἡγεμόσι φοιτώντων, ἐν οἷς ἦν τὸ σύνθημα γεγραμμένον, αὐτοῦ τε παρεξιόντος ἵππῳ τὰ τάγματα καὶ παραθαρρύνοντος, ὀλίγοι μὲν ἔφθασαν ἀκοῦσαι τὸ σύνθημα παρεγγυώμενον, οἱ δὲ πλεῖστοι, μὴ προσμείναντες, ὁρμῇ μιᾷ καὶ ἀλαλαγμῷ προσεφέροντο τοῖς πολεμίοις. Γενομένης δὲ δι' ἀταξίαν ταύτην ἀνωμαλίας καὶ διασπασμοῦ τῶν ταγμάτων, τὸ Μεσσάλα πρῶτον, εἶτα τὰ συνεζευγμένα παρήλλαττε τὸ Καίσαρος ἀριστερόν· καὶ βραχέα τῶν ἐσχάτων θιγόντες καὶ καταβαλόντες οὐ πολλούς, ἀλλ' ὑπερκεράσαντες, ἐμπίπτουσιν εἰς τὸ στρατόπεδον. Καὶ Καῖσαρ μέν, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν ἱστορεῖ, τῶν φίλων τινός, Ἀρτωρίου Μάρκου, καθ' ὕπνον ἰδόντος ὕψιν κελεύουσαν ἐκστῆναι Καίσαρα καὶ μετελθεῖν ἐκ τοῦ χάρακος, ἔφθασε μικρὸν ὑπεκκομισθείς, ἔδοξέ τε τεθνάναι· τὸ γὰρ φορεῖον κενὸν ἀκοντίοις καὶ

τὴν περὶ τὰς τ. κραυγὴν] clamorem militum Bruti et Cassii e castris exeuntium. Quamquam verba *τοῖς ἀντιτεταγμένοις οὐ προσέχοντες* clamorem nonnisi in Cassii castris auditum indicare videntur. Vestigium hoc fortasse similis narrationis qualem Appianus dedit; quae confundere potuit Plutarchus ubique hominibus magis quam rebus intentus.

φοιτώντων] i. e. *διαφερομένων*. Pariter nos quoque *umlaufen* et sim. de iis quae celeriter circumferuntur.

τὸ σύνθημα] *Libertatem* fuisse ait Dio c. 43. sed nimis ille inepte sophistarum more hoc proelium depinxit quam cui vel in talibus crederemus.

παρεγγυώμενον] „*ὑπὸ τῶν ἡγεμόνων*. Coraës de suo dedit *παρεγγυωμένου*. Non imiter." Schaef. Hodie iam Passovii lexicon verum docet. — *ἔφθασαν ἀκοῦσαι*] v. ad. c. 15.

θιγόντες — καταβαλόντες] Sch. correxit pro praesentibus, quod hic quoque reiicere non audeam. — In *βραχέα* pro *βραχύ* vel *βραχέως* usum magis poëticum denuo animadvertes.

Ἀρτωρίου Μάρκου] Medicus hic Caesaris fuit. Rem narrant Dio c. 41. Valer. Max. I. 7, 1. tangunt App. c. 110. Sueton. Aug. 91. Cf. etiam Plut. Ant. 22. Suet. 13. Plin. H. N. VII. 45. qui diserte *Jugam* Caesaris referunt, Plinius addens etiam *triduo in palude latebras*.

βάλλοντες] „Malim *βαλόντες*." Sch. Praesens quo defendatur, arcte iungendum est cum verbo finito, *τῷ βάλλειν διήλασαν*. Sed aeque recte se habet *ἔβαλον καὶ* (*οὕτω*) *διήλασαν*, quod est *βαλόντες*.

σθαι νεκρῶν ὅσον εἰκὸς ἦν, νενικημένων κατὰ κράτος ταγμάτων τοσούτων. Ταῦτα πρῶτον ἔννοιαν παρέστησε τῷ Βρούτῳ τοῦ συμπτώματος· καὶ καταλιπὼν φρουρὰν ἐν τῷ στρατοπέδῳ τῶν πολεμίων, ἀνεκαλεῖτο τοὺς διώκοντας καὶ συνῆγεν ὡς Κασσίῳ βοηθήσων.

XLIII. Ἐπέπρακτο δ' οὕτω τὰ κατ' αὐτόν. Οὔτε τὴν πρώτην ἐκδρομὴν τῶν περὶ Βροῦτον ἡδέως εἶδεν, ἄνευ συνθήματος καὶ προστάγματος γενομένην, οὔθ' ὅτι κρατοῦντες εὐθὺς ὥρμησαν ἐφ' ἁρπαγὴν καὶ ὠφέλειαν, τοῦ περιιέναι καὶ κυκλοῦσθαι τοὺς πολεμίους ἀμελήσαντες, ἤρεσκεν αὐτῷ τὰ πραττόμενα. Μελλήσει δέ τινι καὶ διατριβῇ μᾶλλον ἢ προθυμίᾳ καὶ λογισμῷ στρατηγῶν, ὑπὸ τοῦ δεξιοῦ τῶν πολεμίων περιελαμβάνετο· καὶ τῶν ἱππέων εὐθὺς ἀποῤῥαγέντων φυγῇ πρὸς τὴν θάλασσαν, ὁρῶν καὶ τοὺς πεζοὺς ἐνδιδόντας ἐπειρᾶτο κατέχειν καὶ παρακαλεῖν, ἑνὸς δὲ σημειοφόρου

si vera erat de illius victoria opinio. — Indicativus ἦν Latinis aeque adhibetur, nobis vero coniunctivus; quod nemini ignotum.

ἔννοια] est cogitatio, praesagium. — συνῆγεν] διεσκεδασμένους οἷα διώκοντας.

Cap. XLIII. οὕτω] de re non iam exposita sed adhuc exponenda: qui usus paulo rarior videtur contrario adverbii ὧδε. Conf. Matth. §. 470, 1.

περιιέναι] Reiske e Iunt. restituit pro vulg. περιεῖναι. — In sequentibus notanda verba τὰ πραττόμενα addita pleonasmo satis eleganti et optimi aevi scriptoribus non alieno. Similiter lat. interpres: *neque quod — ruerunt, ea res ei placuit;* nos: *das gefiel ihm nicht.*

λογισμός] est consilium, certum ad finem tendens, in quod etiam cunctatio cadere possit, sed non illa temeraria et quasi non voluntaria.

στρατηγῶν] est participium: ducis partes agens. Quod annotamus quia Dacerius pro substantivo habuit.

μηδὲ τῶν κ. τ. λ.] Haec sequenti potius verbo adiungenda mihi videntur. — Nam si proximi stare iam nolebant, ipse quoque cedere coactus est: contra hasta illa ante pedes infixa nihil amplius valebat, si illi tamen fugiebant. Excidisse autem tunc particulam ante μηδὲ existimandum est, et melius opinor oratio ita procederet: — παρακαλεῖν, ἑνὸς δὲ — πρὸ ποδῶν. Ἀλλὰ μηδὲ — συμμενόντων, οὕτω δὴ κ. τ. λ. — Ceterum οὕτω δή Reiske e Iunt. restituit pro οὕτω δέ: habent illud etiam Ald. Bas. Steph. iterumque mero errore in Francof. et Anglicam editionem δὲ venisse videtur. V. c. 34. ἤδη δέ.

τὸν χάρακα] τὸν αὑτοῦ, sua castra. Οὐκ ἀκριβῶς αὐτὰ διὰ τὸν κονιορτὸν οὐδὲ πάντα ὁρῶν ἀλλ' ἢ τὸ στρατόπεδον ἑαυτοῦ μόνον εἰλημμένον, ait App. c. 113. ubi de Cassii morte

φεύγοντος ἁφαρπάσας τὸ σημεῖον ἔπηξε πρὸ τῶν ποδῶν, μηδὲ τῶν περὶ τὸ σῶμα τεταγμένων αὐτοῦ προθύμως ἔτι συμμενόντων. Οὕτω δὴ βιασθεὶς ἀνεχώρησε μετ' ὀλίγων ἐπὶ λόφον ἔχοντα πρὸς τὸ πεδίον σκοπάς. Ἀλλ' αὐτὸς μὲν οὐδὲν κατεῖδεν, ἢ μόλις τὸν χάρακα πορθούμενον· ἦν γὰρ ἀσθενὴς τὴν ὄψιν· οἱ δὲ περὶ αὐτὸν ἱππεῖς ἑώρων πολλοὺς προςελαύνοντας, οὓς ὁ Βροῦτος ἔπεμψεν. Εἴκασε δ' ὁ Κάσσιος πολεμίους εἶναι καὶ διώκειν ἐπ' αὐτόν· ὅμως δὲ τῶν παρόντων ἕνα, Τιτίννιον, ἀπέστειλε κατοψόμενον. Οὗτος οὐκ ἔλαθε τοὺς ἱππέας προςιών, ἀλλ' ὡς εἶδον ἄνδρα φίλον καὶ Κασσίῳ πιστόν, ἀλαλάξαντες ὑφ' ἡδονῆς, οἱ μὲν συνήθεις ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο καταπηδῶντες ἀπὸ τῶν ἵππων, οἱ δ' ἄλλοι περὶ αὐτὸν ἐν κύκλῳ περιελαύνοντες ἅμα παιᾶνι καὶ πατάγῳ διὰ χαρᾶς ἀμετρίαν, τὸ μέγιστον ἀπειργάσαντο κακόν. Ἔδοξε γὰρ ὁ Κάσ-

aliam narrationem habet sed minus veri similem. Sed etiam Plutarcheam addit, cumque nostro faciunt Dio cap. 46. Vell. II. 70, 2. 3. Val. Max. IX. 9, 2. Flor. IV. 7, 12. 13. Paulo aliter ipse Plut. Caes. 69. θαυμασιώτατον τῶν μὲν ἀνθρωπίνων (poenarum quas Caesaris ὁ μέγας δαίμων ab interfectoribus sumpserit) τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτόν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο.

ἱππεῖς ἑώρων πολλοὺς] Sic e codd. Vulc. et An. restitui iussit iam Bryanus, deditque Fabricius (casu videntur Reiske et Bred. habere *πολλοί*): idem coniecerat Stephanus. Vulg. *ἱππεῖς ἑωρῶντο πολλοί*, qui error natus e voc. *ἱππεῖς*, pro nominativo falso habito. Coraës ideo dedit *ἱππέας*, quod recepit Schaeferus: sed non Plutarchi manum in eo agnoscendam ipse fatetur Coraës quum ait: „*οὕτως ἔγραψα, οὐκ ἀττικιστὴν ἀποδεῖξαι Πλούταρχον σπεύδων, ἀλλὰ τὸ ἀμφίβολον τῆς φράσεως διαλύων.*" Quanquam statim infra omnes habent *ἱππέας*.

διώκειν ἐπ' αὐτόν] Notandus est intransitivus verbi usus, *currere*, in quo nolim cum Passovio *ἵππους* s. *πόδας* supplere. Omnino hodie illae ellipses cesserunt saniori rationi qua actionem per se spectari dicemus, nullo obiecti respectu habito. Conferas, ut e plurimis unum afferam, nostrum *jagen*. Similiter Pomp. 8. *ἐδίωκε βοηθήσων*. — Pro verbis *ἐπ' αὐτόν* miror paene Schaeferum non dedisse *ἐφ' αὐτόν*.

Τιτίννιον] centurionem dicunt Dio et Valerius. Appianus *Τιτίνιον* habet.

ἠσπάζοντο] amplectebantur, brachia collo iniiciebant. Distincta hac notione — quam in lexicis adhuc desideramus — adhibitum est verbum c. 40. et h. l. oppositum *τῷ δεξιοῦσθαι*, manum dare. Vide etiam c. 50. extr. et cf. ad c. 10. dicta.

σιος ἀληθῶς ὑπὸ τῶν πολεμίων ἔχεσθαι τὸν Τιτίννιον. Καὶ τοῦτο δὴ φήσας· „Φιλοψυχοῦντες ἀνεμείναμεν ἄνδρα φίλον ἁρπαζόμενον ὑπὸ τῶν πολεμίων ἰδεῖν·" ἀπεχώρησεν εἴς τινα σκηνὴν ἔρημον, ἕνα τῶν ἀπελευθέρων ἐφελκυσάμενος Πίνδαρον, ὃν ἐκ τῶν κατὰ Κράσσον ἀτυχημάτων ἐπὶ ταύτην εἶχε τὴν ἀνάγκην ὑφ' αὑτοῦ παρεσκευασμένον. Ἀλλὰ Πάρθους μὲν διέφυγε, τότε δὲ τὰς χλαμύδας ἐπὶ τὴν κεφαλὴν ἀναγαγὼν καὶ γυμνώσας τὸν τράχηλον ἀποκόψαι παρέσχεν· εὑρέθη γὰρ ἡ κεφαλὴ δίχα τοῦ σώματος. Τὸν δὲ Πίνδαρον οὐδεὶς εἶδεν ἀνθρώπων μετὰ τὸν φόνον· ἐξ οὗ καὶ παρέσχεν ἐνίοις δόξαν ἀνελεῖν τὸν ἄνδρα μὴ κελευσθείς. Ὀλίγῳ δ' ὕστερον οἱ ἱππεῖς ἐγένοντο φανεροί, καὶ Τιτίννιος ἐστεφανωμένος ὑπ' αὐτῶν ἀνῆει πρὸς Κάσσιον. Ὡς δὲ κλαυθμῷ καὶ βοῇ τῶν φίλων ὀδυρομένων καὶ δυσφορούντων ἔγνω τὸ πάθος τοῦ στρατηγοῦ καὶ τὴν ἄγνοιαν, ἐσπάσατο τὸ ξίφος καὶ πολλὰ κακίσας τῆς βραδυτῆτος ἑαυτὸν ἀπέσφαξε.

XLIV. Βροῦτος δὲ τὴν μὲν ἧττα ν ἐγνωκὼς τοῦ

Φιλοψυχοῦντες κ. τ. λ.] Hic quoque orationem magis vividam exhibuit Plutarchus omissa particula, v. ad c. 40. Quae si addenda esset, ἄρα huc quadraret, minime vero ἄν, quod Reiskio (qui vertens videremur etiam ἀνεμείναμεν cum ἀναμείναιμεν confudit) deesse visum. Est acerba exclamatio: *So haben wir (denn) das abgewartet!* atque sic et lat. interpres et Dac. verterunt. Ita etiam App. qui aperte hic sua e nostro hausit.

Πίνδαρον] *ὑπασπιστήν* ait App. — *ὑφ' αὑτοῦ*] pro *ὑπ' αὐτοῦ* iam Bry. dari iussit deditque Cor. quod h. l. sane necessarium.

τὰς χλαμύδας] „Miror usum pluralis. Sed idem numerus recurrit infra c. 45." Schaef. An forte multiplex vestis eo indicatur, variae eius partes sive laciniae? Vell. l. l. *lacerna caput circumdedit.*

ἐγένοντο φανεροὶ] dignoti sunt, apparuit Bruti eos esse milites, vel, ut Reiske ait, *φανεροὶ ἐγένοντο οἵτινες ἦσαν.*

ἀνῆει] Sch. e cod. An. pro *ἀπῆει.*

κακίσας ἑαυτὸν] Velleius haec verba ei tribuit: „*Sequar eum quem mea occidit tarditas*": plura pro more suo Valerius.

Cap. XLIV. *ἔσχατον ἄνδρα Ῥωμαίων*] „Cfr. Tacitus Annal. IV. 34. Similiter Philopoemen a Romanis *ἔσχατος Ἑλλήνων* vocatus est. Plutarch. Vit. Philopoem. Cap. 1. fin. *Ῥωμαίων δέ τις ἐπαινῶν ἔσχατον αὐτὸν Ἑλλήνων προσεῖπεν ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς Ἑλλάδος ἄνδρα γειναμένης οὐδὲ αὐτῆς ἄξιον.*" Fabr. Aptius etiam hoc dictum de Romano quam de Graeco: nam illis revera cum libertate patria tunc occidit: Graeciae

Κασσίου προσήλαυνε, τὸν δὲ θάνατον ἐγγὺς ἤδη τοῦ χάρακος ἤκουσε. Καὶ τὸ μὲν σῶμα περικλαύσας, καὶ προσαγορεύσας ἔσχατον ἄνδρα Ῥωμαίων τὸν Κάσσιον, ὡς οὐκέτι τῇ πόλει τηλικούτου φρονήματος ἐγγενέσθαι δυναμένου, περιέστειλε καὶ ἀπέπεμψεν εἰς Θάσον, ὡς μὴ σύγχυσιν αὐτόθι παράσχοι κηδευόμενον, αὐτὸς δὲ τοὺς στρατιώτας συναγαγὼν παρεμυθήσατο, καὶ πάντων ὁρῶν ἀπεστερημένους τῶν ἀναγκαίων ὑπέσχετο κατ' ἄνδρα δισχιλίας δραχμὰς ἀντὶ τῶν ἀπολωλότων. Οἱ δὲ πρός τε τοὺς λόγους ἀνεθάρρησαν αὐτοῦ, καὶ τῆς δωρεᾶς ἐθαύμασαν τὸ μέγεθος καὶ μετὰ βοῆς προὔπεμψαν ἀπιόντα μεγαλύνοντες, ὡς μόνον ἀήττητον ἐν τῇ μάχῃ τῶν τεσσάρων αὐτοκρατόρων γεγενημένον. Ἐμαρτύρει δὲ τὸ ἔργον, ὅτι τῇ μάχῃ περιέσεσθαι καλῶς ἐπίστευεν· ὀλίγοις γὰρ τάγμασιν ἅπαντας ἐτρέψατο τοὺς ἀντιστάντας· εἰ δὲ πᾶσιν ἐχρήσατο πρὸς τὴν μάχην, καὶ μὴ παρελθόντες οἱ πλεῖστοι τοὺς πολεμίους ἐπὶ τὰ τῶν πολεμίων ὥρμησαν, οὐδὲν ἂν ἐδόκει μέρος αὐτῶν ἀπολιπεῖν ἀήττητον.

letalis iam Chaeronensis dies fuerat. Adde Suet. Tib. 61. Taciti locus, quo Cremutium Cordum ob repetitum hoc de utroque dictum damnatum refert, omnino vel propter Bruti historiam laudandus hic erat, nisi per se quoque esset e nobilissimis scriptoris incomparabilis et post verae Romae tempora veri tamen Romani.

οὐκέτι] Sch. coniunxit pro *οὐκ ἔτι*. Infra c. 47. iam Reiske hoc fecit.

περιέστειλε] hic de condendo tantum mortuo, vestiendo cet. non ut alias de sepeliendo. — *Θάσον*] V. ad c. 38.

πάντων ἀναγκαίων] castris ipsorum ab Antonio captis.

δισχιλίας δραχμὰς] octies mille sestertii; qui sunt fere septingenti floreni, *μέγεθος* sane *θαυμαστόν*, immo paene fidem excedens. App. c. 118. mille tantum drachmas habet. Omnino et Dio c. 47. et App. 117 s. conferendi, quorum posterior etiam orationem Bruti *παραμυθητικὴν* confinxit.

καλῶς] h. l. iure, merito, revera, non sine ratione sufficiente.

ἐτρέψατο] e cod. Vulc. iam Sol. dedit pro *ἐτρέψαντο*.

παρελθόντες] „*Παρέρχεσθαι* est h. l. praeterire intactum, idem atque *παριέναι τινά, ἄθικτον ἐᾶν, μὴ προσεγγίζειν αὐτῷ.*" Reiske. Idem copiosius explicat hunc locum satis apertum: pro quo potius notaverim acutam oppositionem *τοὺς πολεμίους* et *τὰ τῶν πολεμίων*.

ἐδόκει] „Brutus puta; nam voc. *μέρος* non est nom. sed acc. h. l." Idem. — *αὐτῶν*] *τῶν πολεμίων*.

XLV. Ἔπεσον δὲ τούτων μὲν ὀκτακισχίλιοι σὺν τοῖς στρατευομένοις οἰκέταις, οὓς Βρίγας ὁ Βροῦτος ὠνόμαζε, τῶν δ' ἐναντίων Μεσσάλας φησὶν οἴεσθαι πλείους ἢ διπλασίους. Διὸ καὶ μᾶλλον ἠθύμουν ἐκεῖνοι, πρὶν ἢ Κασσίου θεράπων ὄνομα Δημήτριος ἀφίκετο πρὸς Ἀντώνιον ἑσπέρας, εὐθὺς ἀπὸ τοῦ νεκροῦ τὰς χλαμύδας λαβὼν καὶ τὸ ξίφος· ὧν κομισθέντων οὕτως ἐθάρρησαν, ὥςτε ἅμ' ἡμέρᾳ προάγειν ὡπλισμένην ἐπὶ μάχῃ τὴν δύναμιν. Βρούτῳ δέ, τῶν στρατοπέδων ἑκατέρου σαλεύοντος ἐπισφαλῶς (τὸ μὲν γὰρ αὐτοῦ καταπεπλησμένον αἰχμαλώτων ἐδεῖτο φυλακῆς ἀκριβοῦς, τὸ δὲ Κασσίου τὴν μεταβολὴν τοῦ ἄρχοντος οὐ ῥᾳδίως ἔφερεν, ἀλλὰ καὶ φθόνου τι καὶ μίσους ἡττημένοις ἐνῆν αὐτοῖς πρὸς τὸ νενικηκός), ὁπλίσαι μὲν ἔδοξε τὸ στράτευμα, μάχης δ' ἀπέσχετο. Τῶν δ' αἰχμαλώτων τὸ

Cap. XLV. τούτων] τῶν μετὰ Βρούτου καὶ Κασσίου. Sic recte Cor. quum Reiske nonnisi Bruti milites intellexit, quorum pauci cecidisse videntur; etiam οἱ ἐναντίοι sunt Caesaris et Antonii coniuncti exercitus.

Βρίγας] Sic vulg. Reiske, Bred. Fabr. Cor.; Βρύγας e cod. An. Schaeferus. Herod. VII. 70. οἱ δὲ Φρύγες, ὡς Μακεδόνες λέγουσι, ἐκαλέοντο Βρίγες χρόνον ὅσον Εὐρωπήϊοι ἐόντες σύνοικοι ἔσαν Μακεδόσι, μεταβάντες δὲ ἐς τὴν Ἀσίην ἅμα τῇ χώρῃ καὶ τὸ οὔνομα μετέβαλον ἐς Φρύγας. Macedones enim literam φ in β mutabant. Plut. Quaestt. Graecc. 9. (p. 292. Wytt. II. 199.) ἀντὶ τοῦ φ τῷ β χρῶνται Μακεδόνες, Βίλιππον καὶ βάλακρον καὶ Βερονίκην λέγοντες. Cf. Hesych. Steph. Byz. s. v. Strab. p. 540. XII. 3, 20. qui omnes ι servant. Contra Schaeferus affert Eustath. ad Dionys. Perieg. 767. p. 245, 23. Bernh. Βρύγοι — καὶ Βρύγες καὶ Φρύγες οἱ αὐτοί. Addit tamen: „Quanquam altera forma haud raro occurrit." — Nomine illo Brutus praecipue videtur usus esse, quod scriptor ait, οὓς Β. ὁ Βροῦτος ὠνόμαζεν. Offensus fortasse in hac re Sch. coniecit ὀνομάζει: sed nullum aliud indicium habeo Brutum ipsum de hac pugna commentarios reliquisse. Volumnium opinor hic secutus est Plutarchus, Caesarianae autem cladis numerum nonnisi ex Messala compertus illius nomen apposuit.

οἴεσθαι] sc. πεσεῖν, quod facile quivis ex antecedente ἔπεσον supplet, et Reiskium ipsum primo duntaxat aspectu desiderasse aestimandum est. Hessius adeo voluit κεῖσθαι.

σαλεύοντος] Hoc quoque in verbo rhetoricum sive poëticum nostri colorem observare licet. Eodem pertinet sub finem cap. εὖ μάλα.

αὐτοῦ] Vulg. αὐτοῦ, quod Schaeferum reliquisse valde miror, aperta oppositione inter sua ipsius et Cassii castra.

ἐνειλούμενον] h. l. cum improbatione et contemtu dictum de iis qui otiosi et prava tentaturi inter arma, id est subsidia malefactorum

μὲν δουλικὸν πλῆθος ἐνειλούμενον ὑπόπτως τοῖς ὅπλοις ἐκέλευσεν ἀναιρεθῆναι, τῶν δ' ἐλευθέρων τοὺς μὲν ἀπέλυε, φάσκων ὑπὸ τῶν πολεμίων μᾶλλον ἡλωκέναι αὐτούς, καὶ παρ' ἐκείνοις αἰχμαλώτους εἶναι καὶ δούλους, παρ' αὐτῷ δ' ἐλευθέρους καὶ πολίτας· ὡς δὲ τοὺς φίλους ἑώρα καὶ τοὺς ἡγεμόνας ἀδιαλλάκτως ἔχοντας, ἀποκρύπτων καὶ συνεκπέμπων ἔσωζεν. Ἦν δέ τις Βολούμνιος μῖμος καὶ Σακουλίων γελωτοποιὸς ἡλωκότες, οὓς ἐν οὐδενὶ λόγῳ τιθεμένου τοῦ Βρούτου προςάγοντες οἱ φίλοι κατηγόρουν ὡς οὐδὲ νῦν τοῦ λέγειν καὶ σκώπτειν πρὸς ὕβριν αὐτῶν ἀπεχομένους. Ἐπεὶ δὲ Βροῦτος μὲν ἐσίγα, πρὸς ἑτέραις ὧν φροντίσι, Μεσσάλας δὲ Κορβῖνος ἐδικαίου, πληγαῖς κολασθέντας ἐπὶ σκηνῆς, γυμνοὺς ἀποδοθῆναι τοῖς στρατηγοῖς τῶν πολεμίων, ὅπως εἰδῶσιν, οἵων δέονται στρατευόμενοι

versantur (*sich herumtreiben*), quem sensum etiam illud πλῆθος adiuvat. Passiva potius notio inest c. 47. Caes. 66. Etymologica quaedam de hoc voc. ex Hemsterhusio ad Timaei lex. Plat. p. 71. dat Fabr. ad c. 47. — De re cf. Dion. c. 43.

τοὺς μὲν ἀπέλυε] Deest alterum membrum. Sch. ait debuisse sequi τοὺς δέ, ὡς τοὺς φίλους —. Sed eosdem, non alios, et ἀπέλυεν et ἔσωζεν. Contra his opponuntur scurrae illi, ἦν δέ τις Βολ. κ. τ. λ. quos Brutus servare non studuit eoque perdidit; nam liberos etiam hos fuisse iam id arguit quod nominatim commemorantur. Sic nec mutatam constructionem iure dicemus.

τῶν πολεμίων] qui sibi inimici, illis duces erant.

τοὺς φίλους καὶ ἡγεμόνας] suos, Bruti. — ἀδιαλλάκτως] contra hos captivos.

συνεκπέμπων] erit συνεργῶν πρὸς ἔκπεμψιν αὐτῶν.

ἐν οὐδενὶ λόγῳ τιθεμένου] „Frequens dicendi genus ἐν λόγῳ τινὰ τιθέναι. Tyrtaens eleg. III. 1. Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην Οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης. Vide quae ad hunc congessit Klotzius, cuius notatis accedat hoc ex Plutarch. Syll. 3. ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἔν τινι λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις." Fabr. Phrasis omnino nota.

προςάγοντες] Cor. coniecit προςαγαγόντες, quod Sch. recepit. Cui assentiri nequeo: optime enim praesentis participio τὸ προςάγειν et τὸ κατηγορεῖν tanquam una actio exhibentur, quae cur distinguamus causam non video, multoque languidior eo fieret oratio. Plane aliud est in fine cap. διέφθειραν ἀπαγαγόντες.

οἵων — συνήθων] Conf. Crass. 32. καθυβρίσαι καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. Loquitur de libellis Aristidis cuiusdam impuris, quos Parthi inter Romana impedimenta repererant.

συμποτῶν καὶ συνήθων, ἔνιοι μὲν τῶν παρόντων ἐγέλασαν, Πόπλιος δὲ Κάσκας ὁ πρῶτος Καίσαρα πατάξας „Οὐ καλῶς" ἔφη „τεθνηκότι Κασσίῳ παίζοντες καὶ γελωτοποιοῦντες ἐναγίζομεν. Σὺ δ'" εἶπεν „ὦ Βροῦτε, δείξεις, ὅπως ἔχεις μνήμης πρὸς τὸν στρατηγόν, ἢ κολάσας ἢ φυλάξας τοὺς χλευασομένους καὶ κακῶς ἐροῦντας αὐτόν." Πρὸς τοῦτο Βροῦτος εὖ μάλα δυςχεράνας „Τί οὖν" εἶπεν „ἐμοῦ πυνθάνεσθε, Κάσκα, καὶ οὐ πράττετε τὸ δόξαν ὑμῖν;" Ταύτην ἐκείνου τὴν ἀπόκρισιν συγκατάθεσιν ποιησάμενοι κατὰ τῶν ἀθλίων ἀνθρώπων διέφθειραν αὐτοὺς ἀπαγαγόντες.

XLVI. Ἐκ τούτου τὴν δωρεὰν ἀπέδωκε τοῖς στρατιώταις, καὶ μικρὸν μεμψάμενος ἐπὶ τῷ τὸ σύνθημα μὴ λαβόντας ἄνευ παραγγέλματος ἀτακτότερον ἐναλέσθαι τοῖς πολεμίοις, ὑπέσχετο καλῶς ἀγωνισαμένοις

Πόπλιος Κάσκας] cf. c. 17. — *ἔχεις*] e Sol. coni. Reiske restituit pro vulg. *ἔχῃς*.

χλευασομένους] Reiske e Iunt. (idem habet Ald. et Bas.) restituit, quem secuti Cor. et Schaeferus, qui „attende" inquit „usum futuri medii". Bred. et Fabr. vulg. *χλευαζομένους* tuentur, accipientes *ἐροῦντας* pro praesenti: quod profecto anno 1821. (qui est tertiae editionis Kunischii) repeti non debebat.

Cap. XLVI. *ἐναλέσθαι*] Corais est coniectura pro *ἐνάλλεσθαι*, recepta a Sch. satis probabilis, quamvis forsan ne haec quidem necessaria.

Θεσσαλονίκην καὶ Λακεδαίμονα] Nota est prior urbs in summo sinus Thermaici recessu, occidentem versus a Philippis. Cui additam esse Lacedaemonem tanto itinere distantem, non mihi soli mirum videri arbitror (ut taceam rarius id nomen de ipsa urbe non de civitate adhibitum): facile itaque de errore cogites quales ad c. 4. et 25. notavimus, eumque correcturus e nominis similitudine non male fortasse *Λάρισσαν* coniicias. Veterem tamen errorem esse oportet, quum etiam Appianus c. 118. utramque urbem nominet, addito quidem *δοκεῖ δέ τισιν*; sed referendum hoc ad totam rem quam Bruti causa maluerit non esse veram. Eadem de causa etiam Coraës dubitat. Lacedaemonem fortasse propter latam Caesari opem damnatam dixerit aliquis; v. c. 41.

